Universidad de Deusto
Biblioteca

Universidade de Lisboa
Biblioteca

ARISTOTELIS
OPERA
TOM. II.

Universidad de Deusto
Biblioteca

TRAIDO DE ONA EN 1956
AL SEPARARSE LA FACULTAD

TRAIDO DE ONA EN 1956
AL SEPARARSE LA FACULTAD

BIBLIOTHECA OMNIENSIS

Universidad de Deusto
Biblioteca
11534
Bibliotheca
Facult. Philosophiae
Prov. Cast. Orient. S.I.

OPERVM ARISTOTELIS TOMVS II.

LIBRORVM ARIstotelis quæ non extant, Fragmenta quædam.

ITEM,

Indices duo: quorum prior nomina eorum continet qui in Aristotelem scripserunt: alter quid sit à quoque eorum in singulos Aristotelis libros scriptum indicat.

Alius INDEX rerum omnium locupletissimus.

Apud Guillelmum Læmarium.

M. D. XCVII.

Universidad de Deusto
Biblioteca

INDEX EORVM QVÆ HOC posteriore tomo continentur.

Ἠθικῶν Νικομαχείων,	ι'.	Ethicorũ Nicomachiorum lib. X.	Ioanne Bernardo Febriano interprete.
Ἠθικῶν μεγάλων,	β'.	Magnorũ Moraliũ, II.	G. Valla Placent. interpr.
Εὐδημείων,	ζ'.	Eudemiorum, VII.	Incerto interprete.
Περὶ ἀρετῶν,	α'.	De virtutibus, I.	Simone Grynæo interpr.
Πολιτικῶν,	η'.	Politica, VIII.	Leonardo Aretino interpr.
Οἰκονομικῶν,	β'.	Oeconomica, II.	Ioachimo Camer. interpr.
Ῥητορικῶν,	γ'.	Rhetorica ad Theodecten, III.	Antonio Riccobono interprete.
Ῥητορικῶν πρὸς Ἀλέξανδρον,	α'.	Rhethorica ad Alexãdrum, I.	Fræcisco Philelph. interpr.
Περὶ ποιητικῆς,	β'.	De Poetica, I.	Antonio Riccobono interprete.
Προβλημάτων τμήματα, λα.		Problematũ sectiones, XXXVIII. 1520	Theodoto Gaza interpr.
Περὶ φυτῶν	β'.	De Plantis II.	Incerto auctore & interpr.
Περὶ πνεύματος	α'.	De flatu vel spiritu. I.	Incerto interprete.
Περὶ θαυμασίων ἀκουσμάτων.	α'.	De miraculis auditis. I.	Incerto interprete.
Φυσιογνωμονικῶν.	α'.	Physiognomicorũ I.	Incerto interprete.
Μηχανικῶν προβλημάτων.	α'.	Quęstionũ mechanicarum I.	Nicolao Leonico interpr.
Περὶ ἀκουστῶν.	α'.	De iis quę sub auditum cadunt. I.	Francisco Patritio interprete.
Περὶ χρωμάτων.	α'.	De coloribus. I.	Celio Calcagnino interpr.
Περὶ ἀτόμων γραμμῶν.	α'.	De lineis insecabilib. I.	
Παραφράσεις τῶν περὶ ἀτόμων,		Paraphrasis libri de lineis insecabilibus.	Iacobo Schegkio interprete.
Περὶ Ξενοφάνους, περὶ Ζηνῶνος, περὶ Γοργίου.		De Xenocrate, de Zenone de Gorgia.	
Ἀνέμων θέσεις καὶ προσηγορίαι.		Ventorum regiones & nomina.	
Περὶ κόσμου.	α'.	De mundo, I.	Gullielmo Budæo interpr.
Τῶν μετὰ τὰ φυσικὰ	ν'.	Metaphysicorũ, XIIII.	Bessarione interprete.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ ΤΟΥ Α. ARISTOTELIS MORALIVM NICOMACHIORUM LIBER PRIMVS.

Κεφάλαιον α.

ΠΑΣΑ τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις, ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ· διὸ καλῶς ἀπεφήναντο τἀγαθὸν, οὗ πάντα ἐφίεται. διαφορὰ δέ τις φαίνεται τῶν τελῶν· τὰ μὲν γὰρ εἰσι ἐνέργειαι· τὰ δὲ παρὰ ταύτας, ἔργα τινά· ὧν δ' εἰσὶ τέλη τινὰ παρὰ τὰς πράξεις, ἐν τούτοις βελτίω πέφυκε τῶν ἐνεργειῶν τὰ ἔργα. πολλῶν δὴ πράξεων οὐσῶν, καὶ τεχνῶν, καὶ ἐπιστημῶν, πολλὰ καὶ τὰ τέλη· ἰατρικῆς μὲν ὑγίεια· ναυπηγικῆς δὲ ναῦς· στρατηγικῆς δὲ νίκη· οἰκονομικῆς δὲ πλοῦτος. ὅσαι δ' εἰσὶ τοιαῦται ὑπὸ μίαν τινὰ δύναμιν (καθάπερ ὑπὸ μὲν τὴν ἱππικὴν χαλινοποιικὴ, καὶ ἑτέρα ἥτις περὶ τὴν ἱππικὴν ἐργάζεται· εἰσὶ δὲ αὗται καὶ πᾶσαι πολεμικὴ πρᾶξις ὑπὸ στρατηγικὴν· ταύτην δὲ ὅμοιον ἄλλαι ὑφ' ἑαυτάς) ἐν ἁπάσαις δὲ τοῖς τῶν ἀρχιτεκτονικῶν τέλη, πολύ τοῦτο βέλτιστον τῶν ὑφ' αὐτὴν τούτων· τῷ γὰρ ἕνεκα κἀκείνα διώκεται. διαφέρει δ' οὐδὲν τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ τέλη τῶν πράξεων, ἢ παρ' ταύτας ἄλλό τι καθάπερ φαμὲν τῶν λεχθεισῶν ἐπιστημῶν. εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν, ὃ δι' αὐτὸ βουλόμεθα, τὰ δ' ἄλλα δι' ἐκεῖνο, καὶ μὴ πάντα δὴ ἕνεκα αἱρούμεθα· (πρόεισι γὰρ εἰς ἄπειρον οὕτω γ' ἡ ὄρεξις· ὥστε κενὴ καὶ μάταιος ἡ ὄρεξις) δῆλον ἂν εἴη τοῦτ' αὐτὸ τἀγαθὸν, καὶ τὸ ἄριστον. ἆρ' οὖν καὶ πρὸς τὴν βίον ἡ γνῶσις ἐκ τῶν μεγίστων ἰσχύει καὶ παντάπασι τοξότῃ παραπλήσιον, ἔχοντι σκοπὸν οὗ τυγχάνειν τὸν δέοντος; ἐκεῖνο δὴ τὸ τί ἐστι τὸ τῆς πολιτικῆς ἐπιστήμης τέλος, καὶ τίνα τῶν κυριωτάτων ἐστὶ τῶν ἐν τῷ βίῳ κατανοεῖν, ὁμολογεῖται τὸν αὐτὸν τῶν μάλιστα εἶναι τὸν ἀρχιτεκτονικόν. δοκεῖ δὲ τοιαύτη τις εἶναι ἡ πολιτικὴ, ἥ τε τῶν ἄλλων ἐπιστημῶν καὶ τῶν ἀλλοτρίων ἐστὶν ἀρχιτεκτονικὴ, ὅσαι τὰς πράξεις ἀλλήλαις ἐνδίδοασι· τὸ δὲ τέλος ἐστὶν ἀνθρώπου ἀγαθὸν, εἰ καὶ τὸ αὐτὸ ἀγαθὸν πόλει καὶ ἑνὶ ἀνθρώπῳ ἐστὶν, ἀλλὰ τὸ μεῖζόν γε καὶ τελειότερον φαίνεται τὸ τῆς πόλεως λαβεῖν καὶ σῶσαι· ἀγαπητὸν μὲν γὰρ καὶ ἑνὶ ἀνθρώπῳ τὸ τοῦ βίου τέλος· καλλίων δὲ καὶ θειοτέρα τῷ ἔθνει καὶ πόλεσι τὸ τοῦτο.

CAPVT I.

OMNIS ars, omnisque dicendi via, actio item, atque electio bonum quoddam expetere videtur. quapropter bene id esse bonum ipsum asseruerunt. Finium verò quædam videtur esse differentia, alij enim operationes, alij præter has opera quædam sunt. At quorum præter actiones fines aliqui sunt: in his opera ipsa operationibus censentur præstantiora. Cùm autem multæ & actiones & scientiæ & artes sint, multi etiam fines euadant, necesse est, medicinæ quidem, sanitas: nauium extructricis, nauis: militaris, victoria: domesticæ ac familiaris, diuitiæ ipsæ. Quæcunque verò huiusmodi sunt, sub vnam aliquam facultatem & potentiam reducuntur: quemadmodum sub equestrem frenorum effectrix, aliæque omnes quæ equestria instrumẽta conficiũt: atque hęc, omnisque demum actio bellica sub militarẽ, atq; eodem modo sub alias aliq; atq; in iis omnibus fines earum quæ architectonicæ habẽtur, magis quàm reliqui omnes aliarum quæ subiacent, expetendi sunt: nam illos quoque horum causa sectamur. Neque tamen interest quiequam siue operationes ipsæ fines actionũ sint, siue præter ipsas aliud quippiã, sicut in antedictis scientiis. Si igitur agendarum rerum finis aliquis est, quem propter ipsum, & propter quem alia volumus, neque omnia ob aliud eligimus (in infinitum enim ita fieret progressus, vanúsque & inanis appetitus noster esset) perspicuum est eum summum bonum atque optimum futurum. Nónne igitur magnum ad vitã cognitio ipsius momentũ afferet? nã si quemadmodũ sagittarij scopũ habeamus, magi bonũ & honestũ assequi possemus.

Universidad de Deusto
Biblioteca

Quòd si ita est, experiendum quidnam is sit, figura comprehendere: cuiusque scientiæ, vel facultatis censeatur. Videretur autem esse eius quæ maximè principalis, maximéque architectonica est: cuiusmodi ciuilis apparet. Quippe cùm ea sit, quæ quasnam esse in ciuitatibus scientias oporteat: cum quales quemque discere, & quousque, constituat. Videamúsque vel maximè honorabiles facultates, qualis est militaris, familiaris, & Oratoria, sub ea esse collocatas. Cùm enim cæteris actiuis scientiis hæc vtatur, quid item agendum, à quibúsque abstinendum præscribat, ac sanciat: eius finis aliarum omnium fines complectetur, efficietúrque, vt is bonum ipsum humanum sit. Nam si etiam & vni homini & ciuitati bonum idem sit: bonum tamen ciuitatis & acquirere & conseruare, maius quid ac diuinius videtur. Ac contentus quidem esse etiam vnusquisque potest, si vni soli: pulchrius tamen ac diuinius, si genti ac ciuitatibus bonum efficiatur. Hæc igitur sunt, quæ discendi hæc via, quę ciuilis quædam est, appetit. Satis verò hac de re dictum existimetur: si perinde explicatum fuerit, ac subiecta materia postulat. Nam exacta tractatio non simili modo in vnoquoque genere exquirenda est: quemadmodum neque in artium opificiis. Honesta autem & iusta, de quibus ciuilis considerat, tantam differentiam, tantúmque errorem in se habent: vt lege, non natura esse videantur. In bonis etiam talem quendam errorem inesse propterea patet, quòd multis damna ex ipsis eueniunt: nonnulli enim ob diuitias, aliæ ob fortitudinem periere. Contenti igitur erimus, si nos, cum de talibus & ex talibus disseramus, pingui quadam minerua, atque adumbrata figuratione verum ostēdamus: cúmque de iis, quę plerunq. eueniunt, atque ex iis ratiocinemur, similia etiam concluserimus. Eodem modo etiā vnusquisq. debet ea, quæ de aliquo dicuntur, admittere. est enim eruditi eatenus exactam in vnoquoque genere explicationem requirere, quatenus pati rei ipsius natura potest. Nam & mathematicum suasionibus vtentem approbare: & ab Oratore demonstrationes exigere, simile vitium videtur. Verum vnusquisque ea rectè iudicat, quæ cognoscit: atque eorum bonus iudex est. vnam quamque igitur rem bene iudicat, qui in ea: absolutè verò omnia, qui in omnibus eruditus est. Atq. hinc fit, vt iuuenis auditor ciuilis idoneus esse non possit,

εἰ δ' οὕτω, πειρατέον τύπῳ γε περιλαβεῖν αὐτὸ τί ποτέ ἐστι, καὶ τίνος τῶν ἐπιστημῶν ἢ δυνάμεων. δόξειε δ' ἂν τῆς κυριωτάτης καὶ μάλιστα ἀρχιτεκτονικῆς. τοιαύτη δὴ καὶ ἡ πολιτικὴ φαίνεται. τίνας γὰρ εἶναι χρεὼν τῶν ἐπιστημῶν ἐν ταῖς πόλεσι, καὶ ποίας ἑκάστους μανθάνειν, καὶ μέχρι τίνος, αὕτη διατάττει. ὁρῶμεν δὲ καὶ τὰς ἐντιμοτάτας τῶν δυνάμεων ὑπὸ ταύτην οὔσας· οἷον στρατηγικὴν, οἰκονομικὴν, ῥητορικήν. χρωμένης δὲ ταύτης ταῖς λοιπαῖς πρακτικαῖς τῶν ἐπιστημῶν, ἔτι δὲ νομοθετούσης τί δεῖ πράττειν, καὶ τίνων ἀπέχεσθαι, τὸ ταύτης τέλος περιέχοι ἂν τὰ τῶν ἄλλων, ὥστε τοῦτ' ἂν εἴη τἀνθρώπινον ἀγαθόν. εἰ γὰρ καὶ ταυτόν ἐστιν ἑνὶ καὶ πόλει, μεῖζόν γε καὶ τελειότερον τὸ τῆς πόλεως φαίνεται καὶ λαβεῖν καὶ σώζειν· ἀγαπητὸν μὲν γὰρ καὶ ἑνὶ μόνῳ, κάλλιον δὲ καὶ θειότερον, ἔθνει καὶ πόλεσιν. ἡ μὲν οὖν μέθοδος, τούτων ἐφίεται, πολιτική τις οὖσα. Λέγοιτο δ' ἂν ἱκανῶς, εἰ κατὰ τὴν ὑποκειμένην ὕλην διασαφηθείη. τὸ γὰρ ἀκριβὲς οὐχ ὁμοίως ἐν ἅπασι τοῖς λόγοις ἐπιζητητέον, ὥσπερ οὐδ' ἐν τοῖς δημιουργουμένοις. τὰ δὲ καλὰ καὶ τὰ δίκαια, περὶ ὧν ἡ πολιτικὴ σκοπεῖται, τοσαύτην ἔχει διαφορὰν καὶ πλάνην, ὥστε δοκεῖν νόμῳ μόνον εἶναι, φύσει δὲ μή. τοιαύτην δέ τινα πλάνην ἔχει καὶ τἀγαθὰ, διὰ τὸ πολλοῖς συμβαίνειν βλάβας ἀπ' αὐτῶν. ἤδη γάρ τινες ἀπώλοντο διὰ πλοῦτον, ἕτεροι δὲ δι' ἀνδρείαν. ἀγαπητὸν οὖν, περὶ τοιούτων καὶ ἐκ τοιούτων λέγοντας, παχυλῶς καὶ τύπῳ τἀληθὲς ἐνδείκνυσθαι, καὶ περὶ τῶν ὡς ἐπὶ τὸ πολὺ, καὶ ἐκ τοιούτων λέγοντας, τοιαῦτα καὶ συμπεραίνεσθαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἀποδέχεσθαι χρεὼν ἕκαστον τῶν λεγομένων· πεπαιδευμένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ' ἕκαστον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται. παραπλήσιον γὰρ φαίνεται, μαθηματικοῦ τε πιθανολογοῦντος ἀποδέχεσθαι, καὶ ῥητορικὸν ἀποδείξεις ἀπαιτεῖν. ἕκαστος δὲ κρίνει καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής. καθ' ἕκαστον μὲν ἄρα ὁ πεπαιδευμένος· ἁπλῶς δ' ὁ περὶ πᾶν πεπαιδευμένος. διὸ τῆς πολιτικῆς οὐκ ἔστιν οἰκεῖος ἀκροα-

ἀκροατὴς ὁ νέος. ἄπειρος γὰρ τῶν κατὰ τὸν βίον πράξεων. οἱ λόγοι δ' ἐκ τούτων καὶ περὶ τούτων. ἔτι δὲ τοῖς πάθεσιν ἀκολουθητικὸς ὢν, ματαίως ἀκούσεται καὶ ἀνωφελῶς. ἐπειδὴ τὸ τέλος ἐστὶν, οὐ γνῶσις, ἀλλὰ πρᾶξις. διαφέρει δ' οὐδὲν νέος τὴν ἡλικίαν, ἢ τὸ ἦθος νεαρός. οὐ γὰρ παρὰ τὸν χρόνον ἡ ἔλλειψις, ἀλλὰ διὰ τὸ κατὰ πάθος ζῆν, καὶ διώκειν ἕκαστα· τοῖς γὰρ τοιούτοις ἀνόνητος ἡ γνῶσις γίνεται, καθάπερ τοῖς ἀκρατέσι· τοῖς δὲ κατὰ λόγον τὰς ὀρέξεις ποιουμένοις καὶ πράττουσι, πολυωφελὲς ἂν εἴη τὸ περὶ τούτων εἰδέναι. καὶ περὶ μὲν ἀκροατοῦ, καὶ πῶς ἀποδεκτέον, καὶ τί προτιθέμεθα, πεφροιμιάσθω τοσαῦτα.

Κεφάλαιον β.

Λέγωμεν δὲ ἀναλαβόντες, ἐπειδὴ πᾶσα γνῶσις καὶ προαίρεσις ἀγαθοῦ τινος ὀρέγεται, τί ἐστιν οὗ λέγομεν τὴν πολιτικὴν ἐφίεσθαι, καὶ τί τὸ πάντων ἀκρότατον τῶν πρακτῶν ἀγαθῶν. ὀνόματι μὲν οὖν σχεδὸν ὑπὸ τῶν πλείστων ὁμολογεῖται· τὴν γὰρ εὐδαιμονίαν καὶ οἱ πολλοὶ, καὶ οἱ χαρίεντες λέγουσι· τὸ δὲ εὖ ζῆν καὶ τὸ εὖ πράττειν, ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. περὶ δὲ τῆς εὐδαιμονίας, τί ἐστιν, ἀμφισβητοῦσι· καὶ οὐχ ὁμοίως οἱ πολλοὶ τοῖς σοφοῖς ἀποδιδόασιν. οἱ μὲν γὰρ, τῶν ἐναργῶν τι καὶ φανερῶν, οἷον ἡδονὴν, ἢ πλοῦτον, ἢ τιμήν· ἄλλοι δ' ἄλλο· πολλάκις δὲ, καὶ ὁ αὐτὸς ἕτερον. νοσήσας μὲν γὰρ, ὑγίειαν· πενόμενος δὲ, πλοῦτον· συνειδότες δὲ ἑαυτοῖς ἄγνοιαν τοὺς μέγα τι καὶ ὑπὲρ αὐτοὺς λέγοντας θαυμάζουσιν. ἔνιοι δὲ ᾤοντο παρὰ τὰ πολλὰ ταῦτα ἀγαθὰ, ἄλλο τι καθ' αὑτὸ εἶναι, ὃ καὶ τούτοις πᾶσιν αἴτιόν ἐστι τοῦ εἶναι ἀγαθά. ἁπάσας μὲν οὖν ἐξετάζειν τὰς δόξας, ματαιότερον ἴσως ἐστίν· ἱκανὸν δὲ τὰς μάλιστα ἐπιπολαζούσας, ἢ δοκούσας ἔχειν τινὰ λόγον. Μὴ λανθανέτω δ' ἡμᾶς ὅτι διαφέρουσιν οἱ ἀπὸ τῶν ἀρχῶν λόγοι, καὶ οἱ ἐπὶ τὰς ἀρχάς. εὖ γὰρ καὶ Πλάτων ἠπόρει τοῦτο καὶ ἐζήτει, πότερον ἀπὸ τῶν ἀρχῶν, ἢ ἐπὶ τὰς ἀρχάς ἐστιν ἡ ὁδός· ὥσπερ ἐν τῷ σταδίῳ ἀπὸ τῶν ἀθλοθετῶν ἐπὶ τὸ πέρας, ἢ ἀνάπαλιν. ἀρκτέον μὲν γὰρ ἀπὸ τῶν γνωρίμων· ταῦτα δὲ διττῶς· τὰ μὲν γὰρ ἡμῖν, τὰ δὲ ἁπλῶς. ἴσως οὖν ἡμῖν γε

quippe cùm imperitus actionum vitæ sit, ex quibus, & de quibus rationes conficiuntur. Adde quòd cùm perturbationes sequatur, frustra & inutiliter audiet. finis enim non cognitio, sed actio est. Interest autem nihil, iuuenis ætate, an moribus iuuenilis aliquis sit. non enim defectus penes tempus est: sed quia & viuit, & singula persequitur ex perturbatione. Talibus enim cognitio, perinde atque incontinentibus inutilis euadit. Illis autem esse perquam vtilis potest: qui secundum rationem & appetitiones & actiones suas moderantur. Ac de auditore quidem, & quomodo admitti huiuscemodi rationes debeant, quídque proponamus, hactenus exorsum sit.

CAPVT II.

NVnc iam dicamus repetita oratione, quoniam omnis cognitio, omnísque electio bonum quoddam appetit: quidnam illud sit, quod ciuilem appetere dicimus: quídque illud, quod omnium agendorum bonorum summum est. De nomine sanè inter omnes ferè constat. nam & plerique & elegantes felicitatem id appellant: & felicem esse idem quod benè viuere, benéque agere esse opinantur. De felicitate verò, quęnam sit, dissentiunt. neque simili modo & vulgus & sapientes eam definiunt. nonnulli enim aliquid ex iis, quæ euidētia, manifestáque sunt, vt voluptatem, vt diuitias, vt honorē: alij aliud eam esse dicunt. sæpe etiam fit, vt idem de ea diuersa opinetur. cùm enim ægrotat, sanitatem: cum pauper est, diuitias summum bonum putat. qui autem ignorantiæ conscij sibi ipsis sunt, eos admirantur, qui magnum quid ac supra vires suas referunt. Nonnulli verò præter multa hæc bona aliud quoddam per se bonum esse existimarūt: quod esset in causa, vt omnia etiam hæc bona sint. Sed omnes velle opiniones exquirere superuacaneum fortasse est: satísque erit, si eas solummodo inuestigemus, quæ extant maximè ac supereminent: vel videntur rationem aliquam in se habere. Neque tamen illud nos lateat, differre inter se disputationes, quæ vel à principiis fiunt, vel ad principia. Rectè enim etiam Plato de hoc dubitabat, quærebátque vtrúmne ab initiis, an ad initia via esset: perinde atque in stadio, à muneratiisne ad metam, an econtrario. Nam à notis est incipiendum. ea autem duobus modis sunt: alia enim sunt nobis, alia absolutè ac simpliciter nota. fortasse igitur ab iis nobis est incipiendum,

Universidad de Deusto
Biblioteca

quæ nobis nota sunt. Quocirca bene mo-
ribus institutus esse debet, qui de honestis
& iustis, ac omni denique ciuili re est con-
tentiosè auditurus. principium enim
est, quod sit: atque id si satis constiterit:
nihil amplius erit opus indagere, cur sit.
Et qui eiusmodi est: vel iam habet: vel ac-
cipere principia facilè potest. Cui verò
neutrum horum adest, Hesiodum audiat
hæc dicentem,

Optimum ille, potest qui ex se cognoscere cuncta.
Ille bonum, monitis qui aliorum obtemperat: at qui
Ex se nec nouit, nec quæ bene se consulit alter
Percipit, adeuitque animo. est ignauus, uersque.

CAPVT III.

SEd nos eò redeamus, vnde digressi sumus. Bonum enim & fœlicitatem non absque ratione homines ex variis vioendi modis videntur existimare. plerique quidem atque importunissimi voluptatem esse putant: vnde etiam fruitioni deditam vitam amant. Tres enim sunt, quæ maximè excellunt vitæ. hæc, quam modo dixi: tum ciuilis ac contemplatiua tertia. Plerique igitur seruiles prorsus videntur, cùm pecudum vitam eligant: rationem tamen propterea consequuntur, quia multi ex iis, qui in potestatibus sunt constituti, dissoluta perinde ac Sardanapalus vitam traducunt. Elegantes verò & ad agendum idonei honorem esse fœlicitatem existimant: hic enim ciuilis vitæ fere finis est. Sed hic tamen remotior aliquantulo esse ab eo ipso quod quærimus, bono videtur. magis enim in iis qui honorem exhibent, quàm qui eo afficiuntur, consistit, bonum verò ipsum eiusmodi esse diuinamus: vt proprium quoddam sit, quod auferri facilè nequeat. Præterea sectari honorem ob id videntur, vt seipsi bonos esse credant. Quærunt enim à prudentibus, & ab iis à quibus cognoscuntur, & ob virtutem honore afficiunt. Perspicuum igitur est, horum etiam ipsorum sententia honore virtutem esse potiorem. vnde fortasse etiam aliquis magis esse eam ciuilis vitæ finè existimaret. sed imperfectior tamen etiã ipsa est. Videtur enim fieri posse, vt qui virtutẽ habeat, vel dormiat, vel in vitâ nihil agat: malis præterea affligatur, sitque maximè infortunatus: cuiusmodi hominem sanè felicem appellarit nemo,

A κριτέον ὅπῃ τῇ ἡμῖν γνωρίμῳ. διὸ δεῖ τοῖς ἔθεσιν ἤνθαι καλῶς τὸν περὶ καλῶν καὶ δικαίων, καὶ ὅλως περὶ πολιτικῶν ἀκουσόμενον ἱκανῶς. αἰτία γὰρ τὸ ὅτι· καὶ εἰ τοῦτο φαίνεται ἀρκούντως, οὐδὲν προσδεήσει τοῦ διότι· ὁ δὲ τοιοῦτος ἢ ἔχει, ἢ λάβοι ἂν ἀρχὰς ῥᾳδίως· τῷ δὲ μηδέτερον ὑπάρχῃ τούτων, ἀκουσάτω τοῦ Ἡσιόδου,

B Οὗτος μὲν πάμπαν ἄριστος, ὃς αὐτὸς πάντα νοήσῃ,
Φραζόμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ἦσιν ἀμείνω·
Ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πιθήται·
Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρεῖος ἀνήρ.

Κεφάλαιον γ.

HMεῖς δὲ λέγομεν ὅθεν παρεξέβημεν. τὸ γὰρ ἀγαθὸν καὶ τὴν εὐδαιμονίαν ὡς ἀλόγως ἐνόμισαν οἱ τὸν βίον ὑπολαμβάνοντες· οἱ μὲν πολλοὶ καὶ φορτικώτατοι, τὴν ἡδονήν· διὸ καὶ τὸν βίον ἀγαπῶν τὸν ἀπολαυστικόν. τρεῖς γὰρ εἰσι μάλιστα οἱ φαινόμενοι, ἥ τε νῦν εἰρημένος, καὶ ὁ πολιτικὸς, καὶ ὁ θεωρητικός. οἱ μὲν οὖν πολλοὶ, πανταπασιν ἀνδραποδώδεις φαίνονται, βοσκημάτων βίον προαιρούμενοι· τυγχάνουσι δὲ λόγου, διὰ τὸ πολλοὺς τῶν ἐν τοῖς ἐξουσίαις ὁμοιοπαθεῖν Σαρδαναπάλῳ· οἱ δὲ χαριέστατοι καὶ πρακτικοὶ, τιμὴν. τὸν γὰρ πολιτικὸν βίον σχεδὸν τοῦτο τὸ τέλος· φαίνεται δὲ ἐπιπολαιότερον ἔτι τοῦ ζητουμένου. δοκεῖ γὰρ ἐν τοῖς τιμῶσι μᾶλλον εἶναι ἢ ἐν τῷ τιμωμένῳ· παρὰ δὲ τἀληθὲς τι καὶ δυσαφαίρετον εἶναι μαντευόμεθα. ἔτι δὲ οἴονται τῇ τιμῇ δοκεῖν, ἵνα πιστεύωσιν ἑαυτοὺς ἀγαθοὺς εἶναι. ζητοῦσι γοῦν ὑπὸ τῶν φρονίμων τιμᾶσθαι, καὶ παρ' οἷς γιγνώσκονται, καὶ ἐπὶ ἀρετῇ· δῆλον οὖν ὅτι κατά γε τούτους ἡ ἀρετὴ κρείττων. τάχα δὲ καὶ μᾶλλον ἄν τις τέλος τὸν πολιτικὸν βίον ταύτην ὑπολάβοι. φαίνεται δὲ ἀτελεστέρα καὶ αὕτη· δοκεῖ γὰρ ἐνδέχεσθαι καὶ καθεύδειν ἔχοντα τὴν ἀρετὴν, ἢ ἀφρακτεῖν διὰ βίου, καὶ πρὸς τούτοις κακοπαθεῖν καὶ ἀτυχεῖν τὰ μέγιστα. τὸν δὲ οὕτω ζῶντα οὐδεὶς ἂν εἰδαιμονίσειεν,

οἱ μὴ θέσει διαφυλάττειν. καὶ σπεῦδ' ὑφ' τούτων ἄλλε. ἱκανῶς. γὰρ καὶ ἐν τοῖς ἐγκυκλίοις εἴρηται περὶ αὐτῆς. πεῖτος δ' ἔστι ὁ θεωρητικός, ὑφ' οὗ τὴν θεωρίαν ἐν τοῖς ἐπουσίοις ποιούμεθα· ὁ δὲ χρηματιστὴς, βίαιός τις ἔστι καὶ ὁ πλοῦτος δῆλον ὅτι οὐ τὸ ζητούμενον ἀγαθόν· χρήσιμον γὰρ, καὶ ἄλλου χάριν. διὸ μᾶλλον τὰ πρότερον λεχθέντα, τέλη τις ἂν ὑπολάβοι. δι' αὐτὰ γὰρ ἀγαπᾶται φαίνεται δ' οὐδὲ ἕνεκα. κρίνει πολλὰ λόγοι περὶ αὐτῶν καταβεβλῆσθαι· τούτω μὲν οὖν ἀφείσθω.

Κεφάλαιον δ.

TΟ δὲ καθόλου, βλέπει ὅσως ἀπορεῖται, καὶ διαπορῆσαι τοῖς λέγουσι, κἀκεῖνο προσαιτοῦσι τῶν πεπτωκότων ζητοῦσι, διὰ τὸ φίλους εἶναι εἰσαγαγεῖν τὰ εἴδη. δόξειε δ' ἂν ὅσως βέλτιον εἶναι καὶ τὸ εἶναι αἱρεῖν, ἄλλως τε καὶ φιλοσόφους ὄντας. ἀμφοῖν γὰρ ὄντων φίλων, ὅσιον προτιμᾶν τὴν ἀλήθειαν. οἱ δὲ καινοποιήσαντες τὴν δόξαν ταύτην, οὐ ἐποίουν ἰδέας ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον ἔλεγον. διόπερ οὐδὲ ἦν αὐτοῖς ἰδέας κατασκευάζειν· τὸ δὲ ἀγαθὸν λέγεται καὶ ἐν τῷ τί ἐστι, καὶ ἐν τῇ ποιῷ, καὶ ἐν τῇ πρὸς τι· τὸ δὲ καθ' αὐτὸ καὶ ἡ οὐσία πρότερον τῇ φύσει, τῷ πρὸς τι. παρακολουθεῖ γὰρ ὥσπερ ἔκφυσις καὶ συμβεβηκότι τῷ ὄντι· οὐκ ἂν οὖν εἴη κοινή τις ἐπὶ πᾶσιν ἰδέα. Ἔτι, ἐπεὶ τἀγαθὸν ἐπταχῶς λέγεται τῷ ὄντι· (καὶ γὰρ ἐν τῇ τί λέγεται, οἷον ὁ θεὸς, καὶ ὁ νοῦς· καὶ ἐν τῇ ποιῷ, οἷ ἀρετή· καὶ ἐν τῇ ποσῷ, τὸ μέτριον· καὶ ἐν τῇ πρὸς τι, τὸ χρήσιμον· καὶ ἐν χρόνῳ, καιρὸς· καὶ ἐν τόπῳ, οἶκος, καὶ ἕτερα τοιαῦτα) δῆλον ὡς οὐκ ἂν εἴη κοινόν τι καθόλου καὶ ἕν. οὐ γὰρ ἂν ἐλέγετο ἐν πᾶσιν ἅπασι κατηγορίαις, ἀλλ' ἐν μιᾷ μόνῃ. Ἔτι δὲ, ἐπεὶ τῶν κατ' μίαν ἰδέαν μία καὶ ἐπιστήμη, καὶ τῶν ἀγαθῶν ἅπαντων ἂν [ἂν] μία τις ἐπιστήμη. τοιοῦτ' δ' εἶναι πολλαὶ καὶ τῶν ὑπὸ μίαν κατηγορίαν· οἷον καιροῦ, ἐν πολέμῳ ὑφ' στρατηγικὴ· ἐν νόσῳ δὲ, ἰατρικὴ· καὶ τῶν μετρίου, ἐν τροφῇ ὑφ, ἰατρικὴ· ἐν πόνοις δ', γυμναστική. Ἀπορήσειε δ' ἄν τις, τί ποτε καὶ βούλονται λέγειν ἀγαθὸν αὐτὸ καθ' ἑαυτὸ ὑπάρχον καὶ ἀπόρρητον εἶναι καὶ

A nisi qui seruare positione velit. Ac de his quidem hactenus: satis enim etiam in circularibus de ipsis dictum est. Tertia vita est contemplatiua, de qua in sequentibus considerabimus. Pecuniaria verò violenta quædam est: & diuitiæ neque ipsæ procul dubio sunt id quod quæritur, bonum: sunt enim vtiles, alteriúsque causa comparantur. Iccirco ea potius, quæ prius dicta sunt, esse fines aliquis existimaret, eò quòd propter se expetuntur. sed neque illa tamen videntur: licet multæ ad ipsa hæc coniectæ rationes fuerint. hæc igitur missa faciamus:

CAPVT IIII.

MElius verò fortasse est, vt vniuersale consideremus, & quomodo dicatur inquiramus. quãquam arduam nobis hanc quæstionem futuram esse video: propterea quòd amici sunt, qui formas introduxerunt. Sed forsan rectius esse, & oportere videretur: vt pro veritatis salute vnusquisque, & præsertim philosophi sua quoque propria refutarent. Nam licet amici ambo sint, sanctum est veritatem ipsis in honore anteponere. Qui igitur hanc opinionem attulerunt, in illis ideas nullas faciebant, in quibus prius & posterius aliquid dicerent. Vnde neque numerorum speciem, id est ideam constituebant. At bonum dicitur & in eo quod est quid, & in quali, & in eo quod est ad aliquid. Quod verò per se est & substantia, prius eo natura est quod est ad aliquid. esse enim hoc appendix quædam videtur atque accidens eius quod est. Quare communis aliqua in his idea esse non potest. Præterea cùm bonum totidem modis dicatur, quot illud quod est (nam & in substantia dicitur, vt Deus & mens: & in qualitate, virtus: & in quantitate mediocre: & in eo quod est ad aliquid, vtile: & in tempore, occasio & in vbi, diuersatio: & alia huiusmodi) perspicuum est commune aliquod vniuersale atque vnum esse non posse. non enim in omnibus denuncupationibus, id est prædicamentis, sed in vno tantum diceretur. Præterea in iis quæ vnam habent ideam, vna quoque scientia est: atque ita bonorum omnium vna quædam scientia esset. sed multæ sunt scientiæ eorum etiam quæ sub vna denuncupatione constituuntur. vt occasionis: in bello, militaris artis: in morbo, medicina, & mediocris: in alimento, medicina: in laboribus, exercitatoria. Dubitaret autem quispiam quidnam velint per se vnumquodque dicere: & id per se in homine & in homine vna &

eadem ratio hominis est. Nā quatenus homo, nihil different. Quòd si ita est, neque quicquam dissonum, quicquam distabunt. Verumtamen neque quia sempiternum aliquid est, ideo magis bonum erit: siquidem neque album quod diutius, quàm quod vno die tantum durat, albus est. Probabilius autem de ipso Pythagorei dicere videntur: cùm vnum in bonorum consortio constituant: quos quidem sequutus videtur etiam Speusippus. Sed de his alia sit dissertatio. In iis verò quæ dicta sunt, controuersia quædam subest: propterea quòd non de omni bono rationes dictæ sunt: sed secundum vnam speciem ea dicuntur, quæ per se amantur & appetuntur: quæ verò hæc conseruant, aut efficiunt quodammodo, aut contraria prohibent: propter hæc aliúque modo bona dicuntur. Perspicuum igitur est bona duobus modis dici: alia per se, alia propterea quæ per se dicuntur. Seiungamus igitur bona hæc per se ab vtilibusiae consideremus an ea secundum vnam ideam dicantur. Quæ verò esse per se bona aliquis statueret: an ea quæ vel si sola relinquantur, persequimur: vt sapere: vt videre: vt voluptates nonnullæ, & honores. nam licet hæc ob aliud quippiam persequamur: esse tamen ex iis quæ sunt per se bona, statuere aliquis posset. Anne aliud quidem quippiam præter ideam? Quare vana erit species. Quòd si hæc quoque per se bona sunt, necesse erit eandem in omnibus ipsis boni rationem existere: quemadmodum eadem in niue & cerusa albedinis ratio est. at honoris, prudentiæ, & voluptatis in eo quòd bona sunt, diuersæ ac differentes rationes reperiuntur. Non est igitur bonum commune quid in vna idea. Sed quonammodo dicuntur? non enim videntur esse æquiuoca à fortuna: nunquid eò quòd ab vno sunt, vel ad vnum omnia ipsa conferuntur? An magis secundum proportionem. nam quemadmodum in corpore est visus: sic in anima est mens: & aliud in alio. Sed omittendis in præsentia fortasse hæc sunt. exactè enim de his tractare ad aliam magis philosophiam spectat. Simili modo etiam de idea. Nam etiam si vnum aliquod sit, quod communiter denuncupatur bonum, aut separabile quid ipsum per se sit; manifestũ est id neq; agi neq; acquiri ab homine posse. Nunc autem tale quid quæritur. Melius verò fortasse alie. iudiceretur esse, si ipsum cognoscceremus ad ea quæ acquiri atque agi possunt, bona. nam quasi exemplum

A ὁ αὐτὸς λόγος δοκεῖ ὁ τοῦ ἀνθρώπου. εἰ γὰρ ἀγαθὸν ἄνθρωπος, οὐδὲν διοίσουσιν· εἰ δὴ οὕτως, οὐδὲ τὸ ἀγαθόν. ἀλλὰ μὴν οὐδὲ τὸ ἀΐδιον ἔτι, μᾶλλον ἀγαθὸν ἔσται, εἴπερ μηδὲ λευκότερον τὸ πολυχρόνιον τοῦ ἐφημέρου. πιθανώτερον δ' οἱ περὶ Πυθαγόρειοι λέγειν περὶ αὐτοῦ, τιθέντες ἐν τῷ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἕν· οἷς δὴ καὶ Σπεύσιππος ἐπακολουθῆσαι δοκεῖ. ἀλλὰ, περὶ μὲν τούτων, ἄλλοθι ἴσως λεκτέον. τοῖς δὲ λεχθεῖσιν ἀμφισβητήσεις τινὲς ὑποτρέχουσιν, διὰ τὸ μὴ περὶ πάντων ἀγαθῶν λέγειν λόγους εἰρῆσθαι· λεγόμενα δὲ κατ' ἓν εἶδος· τὰ κατ' αὐτὰ πλοιοποιήματα καὶ ἀγαπήματα· τὰ δὲ ποιητικὰ τούτων, ἢ φυλακτικά ποτε, ἢ τῶν ἐναντίων κωλυτικά, διὰ ταῦτα λέγεσθαι, καὶ ὅσον ἄλλοι. δῆλον οὖν ὅτι διττῶς λέγεται καὶ τὰ ἀγαθά· καὶ τὰ μὲν κατ' αὐτά, θατέρα δὲ διὰ ταῦτα. χωρίσαντες οὖν ἀπὸ τῶν ἀφελίμων τὰ καθ' αὐτά, σκεψώμεθα εἰ λέγεται κατ' μίαν ἰδέαν. καθ' αὐτὰ δὲ ποῖα θείη τις ἄν; ἢ ὅσα καὶ μονούμενα διώκεται· οἷον τὸ φρονεῖν, καὶ ὁρᾶν, καὶ ἡδονάς τινας, καὶ τιμάς· ταῦτα γὰρ, εἰ καὶ δι' ἄλλό τι διωκόμεθα, ἀμωσγέπως καθ' αὐτὰ ἀγαθῶν θεῖεν ἄν τε. ἢ οὐδὲ, πλὴν τῆς ἰδέας, ἔσται μάταιον ἔσται τὸ εἶδος. εἰ δὲ καὶ ταῦτα ὅσα καθ' αὐτὰ, τὸν τἀγαθοῦ λόγον ἐν πᾶσιν αὐτοῖς τὸν αὐτὸν ἐμφαίνοιεν ἂν· ὥσπερ καὶ ἐν χιόνι καὶ ψιμυθίῳ τὸν τῆς λευκότητος τρόπον· δι' καὶ φρονήσεως, καὶ ἡδονῆς, ἕτερος καὶ διαφέροντες εἰ λόγοι τοῦτο ἢ ἀγαθά. οὐκ ἔστιν ἄρα τὸ ἀγαθὸν κοινόν τι κατ' μίαν ἰδέαν, ἀλλὰ πῶς δὴ λέγεται; εὐ γὰρ ἔοικε τοῖς κατὰ τύχην ὁμωνύμοις· ἀλλ' ἄρα γε τοῦ ἀφ' ἑνὸς ἔτι, ἢ πρὸς ἓν ἅπαντα συντελεῖν, ἢ μᾶλλον κατ' ἀναλογίαν; ὡς γὰρ ἐν σώματι ὄψις, ἐν ψυχῇ νοῦς, καὶ ἄλλο δὴ ἐν ἄλλῳ. ἀλλ' ἴσως ταῦτα νῦν ἀφετέον τὸ παρόν. ἐξακριβοῦν γὰρ ἴσως αὐτῷ, ἄλλης ἂν εἴη σοφίας οἰκειοτέρας ἐπιβάλλοντος ἢ καὶ περὶ τὴν ἰδέαν· εἰ γὰρ καὶ ἔστι τι τὸ κοινῇ κατηγορούμενον ἀγαθὸν, ἢ χωριστόν τι καὶ καθ' αὐτὸ, δῆλον ὡς οὐκ ἂν εἴη πρακτὸν οὐδὲ κτητὸν ἀνθρώπῳ· νῦν δὲ τοιοῦτόν τι ζητεῖται, τάχα δὲ καὶ ἂν δόξειεν ἂν βέλτιον εἶναι γνωρίζειν αὐτὸ πρὸς τὰ κτητὰ καὶ πρακτὰ τῷ ἀγαθῷ. οἷον γὰρ παράδειγμα

τῶν ἔχον-

τῶν ἔχοντες, μᾶλλον εἰσόμεθα καὶ τὰ ἡμῖν ἀγαθὰ· κἂν εἰ ὠφελῶμεν, ἐπιτευξόμεθα ἀνθρῴπῳ τοιαύτῳ τινὶ ὁ λόγος· ἔοικε δὲ τῆς ἐπιστήμης διαφανεῖν· πάσαι γὰρ ἀγαθοῦ τινος ἐφίενται, καὶ τὸ ἐνδεὲς ἐπιζητοῦσαι, παρακλείπουσι τοῦ γνῶναι ἀγαθοῦ. καὶ τοῦ βουλόμενος τυγχάνειν ἅπαντες τοῦ τυχεῖν ἀγαθοῦ, καὶ μηδὲ ἐπιζητεῖν, ὡς δῆλον. ἅπερ δὲ καὶ τὸ ἀφελιμώτατον ὑφαίνοις ἢ τέκτων πρὸς τοῦ αὐτῷ τέχνῃ, εἰ δεῖ αὐτὸ τἀγαθόν; ἢ πρὸς ἰατρικώτερος ἢ στρατηγικώτερος ἔσται, ὁ τοῦ ἰδέᾳ αὐτὸν τεθεαμένος; φαίνεται μὴν γὰρ οὐδὲ τοῦ ὑγιείας οὕτως ἐπιστήμων ὁ ἰατρὸς, ἀλλὰ τοῦ ἀνθρώπου· μᾶλλον δ' ἴσως τοῦ τῷδε· καθ' ἕκαστον γὰρ ἰατρεύει. καὶ ἀεὶ περὶ τούτων, ὅστ' ἀστεῖον εἰρῆσθαι.

Κεφάλαιον ε.

Πάλιν δ' ἐπανελθωμὲν ὅθεν τὸ ζητούμενον ἀγαθὸν, τί ποτ' ἂν εἴη. φαίνεται μὴν γὰρ ἄλλο ἐν ἄλλῃ πράξει καὶ τέχνῃ. ἄλλο γὰρ ἐν ἰατρικῇ, καὶ στρατηγικῇ, καὶ ταῖς λοιπαῖς ὁμοίως. τί οὖν ἕκαστα τἀγαθόν; ἢ οὗ χάριν τὰ λοιπὰ πράττεται; τοῦτο δ' ἐν ἰατρικῇ ὑγίεια· ἐν στρατηγικῇ δὲ, νίκη· ἐν οἰκοδομικῇ δὲ, οἰκία· ἐν ἄλλῃ δ', ἄλλα· ἐν ἁπάσῃ δὲ πράξει καὶ προαιρέσει, τὸ τέλος· τούτου γὰρ ἕνεκα τὰ λοιπὰ πράττουσι πάντες. ὥστ' εἴ τι τῆς πρακτῆς ἁπάντων ἔστι τέλος, τοῦτ' ἂν εἴη τὸ πρακτὸν ἀγαθόν. εἰ δὲ πλείω, ταῦτα. μεταβαίνει δὴ ὁ λόγος εἰς τὸ αὐτὸ ἀφικόμενος. τοῦτο δ' ἔτι μᾶλλον διασαφήσομεν παρακείμενον. ἐπεὶ δὴ πλείω φαίνεται τὰ τέλη, τούτων δ' αἱρούμεθά τινα δι' ἕτερα· οἷον πλοῦτον, ἀυλοὺς, καὶ ὅλως τὰ ὄργανα· δῆλον δὲ ὡς οὐκ ἔστι πάντα τέλεια· τὸ δ' ἄριστον, τέλειόν τι φαίνεται. ὥστ' εἰ μόνον ἔστι τι τέλειον, τοῦτ' ἂν εἴη τὸ ζητούμενον· εἰ δὲ πλείω, τὸ τελειότατον τούτων· τελειότερον δὲ λεγόμεθα τὸ καθ' αὐτὸ διωκτὸν τοῦ δι' ἕτερον· καὶ τὸ μὴ δεόμενον δ' ἄλλου αἱρετὸν, τοῦ καὶ καθ' αὐτὸ καὶ διὰ τοῦτ' αἱρετοῦ· καὶ ἁπλῶς δὴ τέλειον τὸ καθ' αὐτὸ αἱρετὸν ἀεὶ, καὶ μηδέποτε δι' ἄλλο. τοιοῦτον δ' ἡ εὐδαιμονία μάλιστ' εἶναι δοκεῖ. ταύτην γὰρ αἱρούμεθα ἀεὶ δι' αὐτὴν, καὶ οὐδέποτε δι' ἄλλο· τιμὴν δὲ καὶ ἡδονὴν, καὶ νοῦν καὶ πᾶσαν ἀρετὴν αἱρούμεθα μὲν καὶ δι' αὐτά (μηδενὸς γὰρ ἀποβαίνοντος, ἑλοίμεθ' ἂν ἕκαστον αὐτῶν·)

A id habentes magis ea quę nobis bona sunt cognoscere, & si cognouerimus consequi etiam possemus. Hæc quidem ratio probabilitatem quandam habet: à scientiis tamen videtur dissentire. omnes enim cùm bonum quoddam appetant, idq. quod sibi deest, inquirant: cognitionem eius prætermittunt. Dubium sanè etiam est, quam vtilitatem consequetur textor aut faber in sua arte, si bonũ ipsum cognorit, vel quomodo medicus ad medẽdum, aut dux ad

B imperandum peritior reddetur: si ideam ipsam contemplatus fuerit. Nam neque ita speculari sanitatẽ medicus videtur, sed hominis sanitatem: imò verò fortasse huius hominis sanitatem: quippe cùm singulis medeatur. ne de his quidem hactenus.

CAPVT V.

NVnc rursus redeamus ad id, quod quæritimus, bonum: quidque id sit inuestigemus. videtur enim aliud in alia ac-

C tione, atque arte esse. nam aliud in medicina, aliud in re militari, & reliquis similiter. Quid igitur vniuscuiusq. bonum est: An id, cuius gratia cætera aguntur? hoc autem est in medicina sanitas: in arte militari victoria: in ædificatoria domus: in omni denique actione & electione finis ipse, cuius gratia reliqua omnia omnes agunt. Quare si quis communiter agendorũ omnium finis est, id agendum bonum e-

D rit. Sin plures, hi ipsi. Iam verò digrediendo in idem deuenit oratio. Quocirca magis enitendum, vt hoc idem declaremus. Quoniam verò plures esse fines videntur: & horum quosdam ob aliud expetimus, vt diuitias, tibias, instrumenta denique omnia: non omnes esse perfectos perspicuum est, at optimus finis esse quid perfectum videtur. Quare si vnum aliquid e-

E rit quod perfectum sit, id erit quod quærimus: sin plura, id quod perfectissimum horum est. Id autem, quod per se sectandũ est, eo perfectius dicimus, quod propter aliud appetimus. quódque nunquam ob aliud eligendum est, in iis quæ & per se & ob aliud expetuntur, absolutè autem perfectum, quod semper per se: nunquam ob aliud expetendũ est. Eiusmodi antè videtur fœlicitas maximè esse. hanc enim pro-

F pter seipsam semper, & nunquã ob aliud expetimus. At honorem, voluptatẽ, mentem, ac virtutem omnem etiam propter ipsa expetimus: quippe cùm eadem expeteremus, etiã si nihil inde nobis euenirẽt:

Fœlicitatis tamen causa etiam ipsa eadem
expetimus, ex his fœlices nos futuros exi-
stimantes. horum verò causa nullus fœli-
citatem, neque omnino ob aliud quip-
piam expetit. Idem verò etiam è sufficien
tia videtur euenire. perfectum enim bo-
num esse sufficiens apparet. Sufficiens au-
tem dicimus non ipsi soli qui vitam soli-
tariam agit, sed parentibus, sed filiis, sed
vxori, amicis denique ac ciuibus: quando-
quidem homo ciuilis natura est. Horum B
tamen terminus aliquis statuendus est. nā
si ad parentes, & nepotes & amicorum a-
micos hoc protenderimus, in infinitum
res progredietur. Sed de hoc alias consi-
derandum. Sufficiens verò id esse statui-
mus: quod si solum relinquatur, sufficien-
tem atque expetibilem vitam, nulliúsque
rei indigam facit. Talem autem esse fœli-
citatem ipsam existimamus. Quinetiam
maximè omnium expetendam, si cum a-
liis non connumeretur: si verò connume- C
retur, perspicuum est eam vel cum mini-
mo quoque ex bonis magis expetendam
fore. siquidem bonorum supereminentia
fit id, quod adiungitur. maius verò bonū
magis semper expetendum est. Itaque fœ-
licitas cùm agēdorum finis sit, perfectum
quoddam ac sufficiens videtur. Sed fortas
se si dicamus fœlicitatem optimum esse,
concessum quoddam ab omnibus vide-
tur: adhuc tamen desideratur, vt euiden D
tius quid ea sit, exponamus.

CAPVT VI.

FOrtasse verò hoc fieret, si hominis o-
pus sumeretur. nam quemadmodum
tibicini & statuario, aliisque artificibus, &
denique omnibus, quorum opus aliquod
& actio existit, in opere bonum ipsum, &
id quod bene est, videtur consistere: ita
homini quoque, si modò eius aliquod o-
pus est, esse videretur. Vtrum igitur fabri E
& sutoris opera sunt aliqua, & actiones:
hominis verò opus est nullum, sed natura
homo otiosus est? An quemadmodum o-
culi, pedis, manus, & denique vniuscuius-
que membri opus quoddam extat: sic e-
tiā hominis præter omnia hæc opus quod-
dam statuere aliquis posset? Quidnam igi-
tur hoc erit? nam viuere commune etiam
cum plantis videtur: nunc verò proprium F
quoddā est, quod quæritur. vnde nutriēdi
augēdiq. vita omnis separāda est. Sequitur
sentiēdi vita, sed ea quoq. cū equo & boue
& omnib. demū animalib. cōmunis vide-
tur. Reliqua est igitur actiua quædā vita,

A αἱρούμεθα δὲ καὶ τῆς εὐδαιμονίας χάριν, διὰ τούτων ὑπολαμβάνοντες εὐδαιμονήσειν. τὴν δ' εὐδαιμονίαν οὐδεὶς αἱρεῖται τούτων χάριν, οὐδ' ὅλως δι' ἄλλο. φαίνεται δὲ καὶ ἐκ τῆς αὐταρκείας τὸ αὐτὸ συμβαίνειν. τὸ γὰρ τέλειον ἀγαθὸν, αὔταρκες εἶναι δοκεῖ· τὸ δ' αὔταρκες λέγομεν, οὐκ αὐτῷ μόνῳ τῷ ζῶντι βίον μονώτην, ἀλλὰ καὶ B γονεῦσι, καὶ τέκνοις, καὶ γυναικὶ, καὶ ὅλως τοῖς φίλοις, καὶ πολίταις· ἐπειδὴ φύσει πολιτικὸν ὁ ἄνθρωπος. τούτων δὲ ληπτέος ὅρος τις. ἐπεκτείνοντι γὰρ ἐπὶ τοὺς γονεῖς, καὶ τοὺς ἀπογόνους, καὶ τῶν φίλων τοὺς φίλους, εἰς ἄπειρον πρόεισιν. ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἐπισκεπτέον. τὸ δ' αὔταρκες τίθεμεν, ὃ μονούμενον, αἱρετὸν ποιεῖ τὸν βίον καὶ μηδενὸς ἐνδεᾶ. τοιοῦτον δὲ τὴν εὐδαιμονίαν οἰόμεθα C εἶναι· ἔτι δὲ πάντων αἱρετωτάτην, μὴ συναριθμουμένην· συναριθμουμένην δὲ, δῆλον ὡς αἱρετωτέραν μετὰ τοῦ ἐλαχίστου τῶν ἀγαθῶν· ὑπεροχὴ γὰρ ἀγαθῶν γίνεται τὸ προστιθέμενον. ἀγαθῶν δὲ τὸ μεῖζον, αἱρετώτερον ἀεί. τέλειον δή τι φαίνεται καὶ αὔταρκες ἡ εὐδαιμονία, [πάντων] τῶν πρακτῶν οὖσα τέλος.

Κεφάλαιον ϛ.

D ἈΛλ' ἴσως, τὴν μὲν εὐδαιμονίαν τὸ ἄριστον λέγειν ὁμολογούμενόν τι φαίνεται· ποθεῖται δὲ ἐναργέστερον τί ἐστιν ἔτι λεχθῆναι. τάχα δὴ γένοιτ' ἂν τοῦτο, εἰ ληφθείη τὸ ἔργον τοῦ ἀνθρώπου. ὥσπερ γὰρ αὐλητῇ, καὶ ἀγαλματοποιῷ, καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν ἐστὶν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ ἔργῳ δοκεῖ τἀγαθὸν εἶναι καὶ E τὸ εὖ· οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴπερ ἐστί τι ἔργον αὐτοῦ. πότερον οὖν τέκτονος μὲν καὶ σκυτέως ἔστιν ἔργα τινὰ καὶ πράξεις· ἀνθρώπου δὲ οὐδέν ἐστιν, ἀλλ' ἀργὸν πέφυκεν; ἢ καθάπερ ὀφθαλμοῦ καὶ χειρὸς, καὶ ποδὸς, καὶ ὅλως ἑκάστου τῶν μορίων, φαίνεταί τι ἔργον· οὕτω καὶ [τοῦ] ἀνθρώπου παρὰ πάντα ταῦτα θείη τις ἂν F ἔργον τι; τί οὖν δὴ τοῦτ' ἂν εἴη ποτέ; τὸ μὲν γὰρ ζῆν, κοινὸν εἶναι φαίνεται καὶ τοῖς φυτοῖς· ζητεῖται δὲ τὸ ἴδιον. ἀφοριστέον ἄρα τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωήν. ἑπομένη δὲ αἰσθητική τις ἂν εἴη· φαίνεται δὲ καὶ αὐτὴ κοινὴ καὶ ἵππῳ, καὶ βοῒ, καὶ παντὶ ζώῳ. λείπεται δὴ πρακτική τις τοῦ λόγον ἔχοντος,

τούτου

τούτου δὲ, τὸ μὲν, ὡς ἐπιπειθὲς λόγῳ· τὸ δ', A ὡς ἔχον καὶ διανοούμενον. διττῶς δὲ καὶ ταύτης λεγομένης, τὴν κατ' ἐνέργειαν θετέον· κυριώτερον γὰρ αὕτη δοκεῖ λέγεσθαι. εἰ δ' ἐστὶν ἔργον ἀνθρώπου, ψυχῆς ἐνέργεια κατὰ λόγον, ἢ μὴ ἄνευ λόγου· τὸ δ' αὐτό φαμεν ἔργον εἶναι τῷ γένει τοῦδε, καὶ τοῦδε σπουδαίου· ὥσπερ κιθαριστοῦ, καὶ σπουδαίου κιθαριστοῦ· καὶ ἁπλῶς δὴ τοῦτ' ἐπὶ πάντων, προστιθεμένης τῆς B κατ' ἀρετὴν ὑπεροχῆς πρὸς τὸ ἔργον· κιθαριστοῦ μὲν γὰρ, τὸ κιθαρίζειν, σπουδαίου δὲ, τὸ εὖ. εἰ δ' οὕτως, ἀνθρώπου δὲ τίθεμεν ἔργον ζωήν τινα· ταύτην δὲ ψυχῆς ἐνέργειαν καὶ πράξεις μετὰ λόγου· σπουδαίου δ' ἀνδρὸς, εὖ ταῦτα καὶ καλῶς· ἕκαστον δ' εὖ κατὰ τὴν οἰκείαν ἀρετὴν ἀποτελεῖται· εἰ δ' οὕτω, τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια C γίνεται κατ' ἀρετήν· εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην. ἔτι δ' ἐν βίῳ τελείῳ. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα, οὐδ' ὀλίγος χρόνος. περιγεγράφθω μὲν οὖν τἀγαθὸν ταύτῃ.

Κεφάλαιον ζ.

ΔΕῖ γὰρ ἴσως ὑποτυπῶσαι πρῶτον, D εἶθ' ὕστερον ἀναγράψαι. δόξειε δ' ἂν παντὸς εἶναι προαγαγεῖν καὶ διαρθρῶσαι τὰ καλῶς ἔχοντα τῇ περιγραφῇ, καὶ ὁ χρόνος τῶν τοιούτων εὑρετὴς, ἢ συνεργὸς ἀγαθὸς εἶναι· ὅθεν καὶ τῶν τεχνῶν γεγόνασιν αἱ ἐπιδόσεις· παντὸς γὰρ προσθεῖναι τὸ ἐλλεῖπον. μεμνῆσθαι δὲ καὶ τῶν προειρημένων χρὴ, καὶ τὴν ἀκρίβειαν μὴ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν, ἀλλ' E ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεῖον τῇ μεθόδῳ. καὶ γὰρ τέκτων καὶ γεωμέτρης διαφερόντως ἐπιζητοῦσι τὴν ὀρθήν· ὁ μὲν γὰρ, ἐφ' ὅσον χρησίμη πρὸς τὸ ἔργον· ὃ δὲ, τί ἐστιν, ἢ ποῖόν τι· θεατὴς γὰρ τἀληθοῦς. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν τοῖς ἄλλοις ποιητέον, ὅπως μὴ τὰ πάρεργα τῶν ἔργων πλείω γίνηται. οὐκ ἀπαιτητέον δ' οὐδὲ τὴν αἰτίαν ἐν ἅπασιν ὁμοίως, ἀλλ' ἱκανὸν F ἔν τισι τὸ ὅτι δειχθῆναι καλῶς· οἷον καὶ περὶ τὰς ἀρχάς· τὸ δ' ὅτι, πρῶτον καὶ ἀρχή. τῶν ἀρχῶν δὲ, αἱ μὲν ἐπαγωγῇ θεωροῦνται, αἱ δὲ, αἰσθήσει, αἱ δὲ, ἐθισμῷ τινι· καὶ ἄλλαι δ' ἄλλως. μετιέναι δὲ πειρατέον ἑκάστας ᾗ πεφύκασιν

A eius quod ratione præditum est. Id autem
partim rationi obtēperat: partim eam ha-
bet, atque intelligit. Sed cum duobus mo-
dis etiam hæc dicatur, ea quæ est in ope-
ratione, statuenda est. Quòd si est opus ho
minis animæ operatio secundum rationē,
vel non sine ratione, idémque genere esse
opus huius, & huius probi asseueramus: vt
citharœdi, & probi citharœdi: & absolutè
in omnibus, si excellentia virtutis operi
B sit adiuncta: citharœdi enim est cithara
canere: probi citharœdi bene id facere.
Quòd si, inquam, ita est, & hominis opus
esse vitam quandam statuimus: eámque
animæ operationem & actionem cum ra-
tione esse asseueramus: ac probi viri bene
hæc, rectéque exequi esse censemus: sin-
gula autem bene ex propria virtute perfi-
ciuntur. Si ita est: operatio animæ ex vir-
tute bonum humanum efficitur. Si plures
C sint virtutes, ex optima & perfectissima. Et
insuper in vita perfecta. veī.n neque vna
hirundo, neque vnus dies facit: ita quoque
beatū & fœlicē hominem neq. vnus dies,
neque breue aliquod tempus efficiet.

CAPVT VII.

BOnum igitur ipsum ita circūscriptum
sit. oportet enim fortasse prius figura-
re, deinde postea depingere. Videretur au
tem cuiuslibet esse ea, quæ bene circun-
D scriptione sunt cōprehensa, producere ac
distinguere: & tēpus talium inuentor, vel
adiutor bonus esse. vnde & artium facta
sunt incremēta. cuiuslibet enim est quod
deest, addere. Oportet autem eorum, quæ
ante dicta sunt, meminisse: & exactam tra-
ctationem non eodem modo in omnibus
requirere: sed in singulis, prout subiecta
materia postulat. Atque id eatenus, quate-
nus arti vnicuique conuenit. faber enim
& geometra diuerso modo rectū angulū
E vterique considerant: ille quatenus solum-
modo ad opus vtile est: hic cūm veritatis
speculator sit, quid, & quale sit, indagat.
Eodem modo in aliis quoque faciendum
est: ne plura ornamenta extrinsecus quàm
ipsum opus euadant. Neque simili modo
in omnibus causa requirenda est: sed est
in quibusdā satis, si bene demōstratū fue-
rit, quòd sint: id quod etiam in principiis
ipsis cōtingit, quòd autē sit aliquid, primū
ac principium quoddam est. Ex principiis
F verò alia sunt, quæ inductione: alia quæ
sensu: nonnulla quæ assuetudine qua-
dam: alia quæ alio quodam modo consi-
derantur. Singula autē ita sunt tractanda,

Universidad de Deusto Biblioteca

vt natura eorum postulat: dandáque est opera, vt rectè definiantur: magnum enim afferre momentum ad ea quæ sequuntur, consueuere.

CAPVT VIII.

Videtur enim principium plus quàm dimidium totius esse: compluráque eorum quæ in quæstionem veniunt, per ipsum manifestantur. Considerandúmque est de ipsa non solum ex conclusione, exque iis quibus ratio constat, verumetiam ex iis quæ de ipsa dicuntur: cùm verò enim consonant omnia, quæ in re insunt: à falso autē citò dissonāt ac discrepāt. Cùm igitur bona in tres partes distributa sint, & alia externa, alia circa animam, alia circa corpus dicantur, quæ circa animam sunt, maximè propriè, ac maximè bona appellamus: actiones autem & operationes animales circa animam statuimus. Quare ex hac opinione, quæ antiqua est & à philosophis concessa, rectè hoc diceretur. Rectè etiam constitutum fuit, actiones quasdam & operationes finem ipsum dici. ita enim ex bonis animæ sunt, non externis. Consentit etiam cum ratione hoc illud, quod aiunt, benè viuere, ac bene agere fœlicē. ferè enim bona quædam vita & bona actio fœlicitas dicitur.

CAPVT IX.

Videntur autem omnia quæ circa fœlicitatem inquiruntur, inesse huic, quod à nobis dictum est. aliis enim virtus, aliis prudentia, nonnullis sapientia quædam esse fœlicitas videtur: quibusdam hæc, aut aliquid ex his cum voluptate, vel non sine voluptate, sunt etiam qui simul externam prosperitatem assumant. Atque ex his alia multi & antiqui, alia pauci & illustres viri dictitant: quos sanè aberrare tota via vtrosque minimè, sed in vno saltem aliquo, vel in plerisque assequi veritatem verisimile est. Cum illis sanè qui dicunt omnem virtutem, vel quandam eam esse nostra consentit oratio: quippe cum huius sit operatio secundum virtutem, interest tamen non parum fortasse in possessione, an in vsu, & in habitu item, an in operatione esse optimum existimemus. Fieri enim potest vt habitus licet adsit, nullum tamen bonū efficiat: quod in dormiente, vel alio aliquo modo manente otioso homine euenit, vt operatio autē nihil boni agat, nō datur. aget enim necessariò, & bene etiam aget. Sicut autem in Olympiis nō pulcherrimi, & robustissimi coronantur:

καὶ σπουδαστέον ὅπως ὁρισθῶσι καλῶς. μεγάλην γὰρ ἔχουσι ῥοπὴν πρὸς τὰ ἑπόμενα. δοκεῖ γὰρ πλεῖον ἢ ἥμισυ τοῦ παντὸς εἶναι ἡ ἀρχή, καὶ πολλὰ ἐμφανῆ γίνεσθαι δι' αὐτῆς τῶν ζητουμένων.

Κεφάλαιον η.

Σκεπτέον δὴ περὶ αὐτῆς, οὐ μόνον ἐκ τοῦ συμπεράσματος, καὶ ἐξ ὧν ὁ λόγος, ἀλλὰ καὶ ἐκ τῶν λεγομένων περὶ αὐτῆς. τῷ μὲν γὰρ ἀληθεῖ πάντα συνᾴδει τὰ ὑπάρχοντα· τῷ δὲ ψευδεῖ, ταχὺ διαφωνεῖ τἀληθές. νενεμημένων δὴ τῶν ἀγαθῶν τριχῇ, καὶ τῶν μὲν, ἐκτὸς λεγομένων, τῶν δὲ, περὶ ψυχὴν καὶ σῶμα· τὰ περὶ ψυχὴν κυριώτατα λέγομεν, καὶ μάλιστα ἀγαθά. τὰς δὲ πράξεις καὶ τὰς ἐνεργείας τὰς ψυχικὰς, περὶ [τὴν] ψυχὴν τίθεμεν. ὥστε καλῶς ἂν λέγοιτο κατά γε ταύτην τὴν δόξαν παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ τῶν φιλοσοφούντων. ὀρθῶς δὲ καὶ ὅτι πράξεις τινὲς λέγονται καὶ ἐνέργειαι, τὸ τέλος. οὕτω γὰρ τῶν περὶ ψυχὴν ἀγαθῶν γίνεται, καὶ οὐ τῶν ἐκτός. συνᾴδει δὲ τῷ λόγῳ, καὶ τὸ εὖ ζῆν, καὶ τὸ εὖ πράττειν τὸν εὐδαίμονα· σχεδὸν γὰρ εὐζωΐα τις εἴρηται, καὶ εὐπραξία.

Κεφάλαιον θ.

Φαίνεται δὲ καὶ τὰ ἐπιζητούμενα περὶ εὐδαιμονίαν ἅπαντα ὑπάρχειν τῷ λεχθέντι. τοῖς μὲν γὰρ ἀρετή, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις εἶναι δοκεῖ· τοῖς δὲ ταῦτα, ἢ τούτων τι μεθ' ἡδονῆς, ἢ οὐκ ἄνευ ἡδονῆς. ἕτεροι δὲ καὶ τὴν ἐκτὸς εὐετηρίαν συμπαραλαμβάνουσι. τούτων δὲ, τὰ μὲν πολλοὶ καὶ παλαιοὶ λέγουσι, τὰ δὲ ὀλίγοι καὶ ἔνδοξοι ἄνδρες. οὐδετέρους δὲ τούτων εὔλογον διαμαρτάνειν τοῖς ὅλοις, ἀλλ' ἕν γέ τι, ἢ καὶ τὰ πλεῖστα κατορθοῦν. τοῖς μὲν οὖν λέγουσι τὴν ἀρετὴν πᾶσαν, ἢ ἀρετήν τινα, συνῳδός ἐστιν ὁ λόγος· ταύτης γάρ ἐστιν ἡ κατ' αὐτὴν ἐνέργεια. διαφέρει δὲ ἴσως οὐ μικρὸν ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβάνειν, καὶ ἐν ἕξει ἢ ἐνεργείᾳ. τὴν μὲν γὰρ ἕξιν ἐνδέχεται μηδὲν ἀγαθὸν ἀποτελεῖν ὑπάρχουσαν, οἷον τῷ καθεύδοντι ἢ καὶ ἄλλως πως ἐξηργηκότι· τὴν δὲ ἐνέργειαν οὐχ οἷόν τε· πράξει γὰρ ἐξ ἀνάγκης, καὶ εὖ πράξει. ὥσπερ δὲ Ὀλυμπίασιν οὐχ οἱ κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται,

ἀλλ' οἱ

ἀλλ' οἱ ἀγωνιζόμενοι· τούτων γάρ τινες νικῶσιν· οὕτω καὶ τῶν ἐν τῷ βίῳ καλῶν κἀγαθῶν οἱ πράττοντες ὀρθῶς, ἐπήβολοι γίνονται. ἔστι δὲ καὶ ὁ βίος αὐτῶν καθ' αὑτὸν ἡδύς. τὸ μὲν γὰρ ἥδεσθαι, τῶν ψυχικῶν· ἑκάστῳ δ' ἐστὶν ἡδὺ πρὸς ὃ λέγεται φιλοτοιοῦτος· οἷον ἵππος μὲν, τῷ φιλίππῳ· θέαμα δὲ, τῷ φιλοθεώρῳ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ δίκαια, τῷ φιλοδικαίῳ· καὶ ὅλως τὰ κατ' ἀρετὴν, τῷ φιλαρέτῳ. τοῖς μὲν οὖν πολλοῖς τὰ ἡδέα μάχεται, διὰ τὸ μὴ φύσει τοιαῦτ' εἶναι· τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα τὰ φύσει ἡδέα. τοιαῦται δ' αἱ κατ' ἀρετὴν πράξεις. ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι, καὶ καθ' αὑτάς. οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν, ὥσπερ περιάπτου τινὸς, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ. πρὸς τοῖς εἰρημένοις γὰρ, οὐδ' ἔστιν ἀγαθὸς ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν· οὔτε γὰρ δίκαιον οὐδεὶς ἂν εἴποι, τὸν μὴ χαίροντα τῷ δικαιοπραγεῖν· οὔτ' ἐλευθέριον, τὸν μὴ χαίροντα ταῖς ἐλευθερίοις πράξεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δ' οὕτω, καθ' αὑτὰς ἂν εἶεν αἱ κατ' ἀρετὴν πράξεις ἡδεῖαι. ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαί, καὶ μάλιστα τούτων ἕκαστον, εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπουδαῖος. κρίνει δ' ὡς εἴπομεν. ἄριστον ἄρα καὶ κάλλιστον καὶ ἥδιστον ἡ εὐδαιμονία· καὶ οὐ διώρισται ταῦτα κατὰ τὸ Δηλιακὸν ἐπίγραμμα·

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·
Ἥδιστον δὲ πέφυχ' οὗ τις ἐρᾷ τὸ τυχεῖν.

ἅπαντα γὰρ ὑπάρχει ταῦτα ταῖς ἀρίσταις ἐνεργείαις, ταύτας δὲ, ἢ μίαν τούτων τὴν ἀρίστην, εἶναί φαμεν τὴν εὐδαιμονίαν. φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη, καθάπερ εἴπομεν. ἀδύνατον γὰρ, ἢ οὐ ῥᾴδιον, τὰ καλὰ πράττειν, ἀχορήγητον ὄντα. πολλὰ μὲν γὰρ πράττεται, καθάπερ δι' ὀργάνων, καὶ διὰ φίλων, καὶ πλούτου, καὶ πολιτικῆς δυνάμεως. ἐνίων δὲ τητώμενοι, ῥυπαίνουσι τὸ μακάριον, οἷον εὐγενείας, εὐτεκνίας, κάλλους· οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης, ἢ δυσγενὴς, ἢ μονώτης, καὶ ἄτεκνος· ἔτι δ' ἴσως ἧττον, εἴ τῳ πάγκακοι παῖδες εἶεν, ἢ φίλοι, ἢ ἀγαθοὶ ὄντες τεθνᾶσι. καθάπερ οὖν εἴπομεν, ἔοικε προσδεῖσθαι καὶ τῆς τοιαύτης εὐημερίας.

sed qui decertant: ex his enim nonnulli vincunt: sic ex honestis probisque hominibus in vita illi qui rectè agunt, compotes fiunt. Estque ipsorum vita suauis ac iucunda. lætari enim ex affectionibus animæ est, vnicuique autem id est iucundum, ad quod spectando talis rei studiosus quispiam dicitur: vt equus equorum, spectaculum spectaculorum studioso: eodem modo & iustitiæ amatori iusta: & in vniuersum virtutis studioso virtus. Apud plerosque verò iucunda inter se pugnant, propterea quòd eiusmodi natura minimè sunt: sed quæ studiosis honestatis sunt iucunda, ea natura iucunda sunt, ac voluptuosa: tales autem sunt actiones, quæ ex virtute proueniunt. Ipsorum autem vita voluptate quasi appendice aliqua minimè indiget: sed in se eam habet. Præterea enim quæ dicta sunt, qui bonis actionibus non delectatur, bonus minimè est. neque enim vel iustum quempiam dixeris, qui iustè agendo non delectatur: vel liberalem, qui liberalibus actionibus non gaudeat: & in aliis simili modo. Quòd si ita est: actiones secundum virtutem per se iucundæ sunt: Quin etiam bonæ & honestæ: atque vnumquodque horum maximè, si modò de ipsis probus benè iudicat: iudicat autem, vt diximus. Optima igitur, pulcherrima, & iucundissima res est fœlicitas: neque distincta hæc sunt: sicut Deliacum illud epigramma præscribit:

Si valet, optima: si est iustus, pulcherrima res est:
Iucundissima, si quis quod amat potitur.

Omnia enim hæc operationibus secundum virtutem insunt: has autem, aut vnam ex his, quæ optima sit, fœlicitatem esse affirmamus. Videtur tamen etiam ipsa externis bonis sicut diximus, indigere. fieri enim non potest, vel nō facile fit, vt cui necessaria non suppetunt, is bona atq. honesta agat. Multa etenim & per amicos, & diuitias, & ciuilem potentiam quasi per instrumenta quædam aguntur. Quibusdam verò priuati nonnulli, vt nobilitate, bona prole, pulchritudine beatitudinem maculant. nō enim fœlicitatis admodum compos ille est, qui vel specie prorsus deformis, vel genere ignobilis, vel solitarius est, ac prole carens. Nec minus etiam fortasse, si alicui pessimi filij fuerint, aut boni mortui sint. Videtur igitur, vt diximus, tali etiam prosperitate fœlicitas indigere.

Universidad de Deusto
Biblioteca

Vndè nonnulli idem eam cum bona fortuna, alij eam cum virtute esse dicunt.

CAPVT X.

Vnde etiam dubitatur vtrum disciplina an assuetudine, an alia quapiam exercitatione acquiri possit, an ex aliqua diuina sorte, an ex fortuna proueniat. Si tamen aliquod aliud est à diis hominibus exhibitum donum, verisimile est fœlicitatem quoq; à diis exhiberi: ac tanto magis, quanto ipsa omnium humanarum rerum optima est. Sed hoc fortasse ad aliam magis disceptationem spectat, videtur tamen, licet à Diis non mittatur, sed vel ex virtute, vel disciplina aliqua, vel exercitatione accedat: ex diuinissimis rebus fœlicitas esse: quippe cùm præmium virtutis & finis optimum quoddam ac diuinum, beatúmque esse videatur. Estque præterea quoddam longè commune. disciplina enim quadam ac diligentia acquiri ab omnibus potest, modò ad virtutem consequendam læsi ac mãci non fuerint. Quòd si melius est hoc modo, quàm ob fortunam fœlicem vnumquemque esse: rem ita se habere consentaneum est, siquidem & ea quæ secundum naturam sunt, & ea similiter quæ aut ex arte, aut quapiam alia causa & præcipuè optima proueniunt: sicut quàm pulcherrimè fieri potest, ita suapte natura se habent. Quod verò maximũ ac pulcherrimũ est, id fortunæ committere valde prauum est. Imò ex ratione ipsa patet id quod quæritur. esse enim eam animi quandam operationem secundum virtutem definitum est. Ex reliquis verò bonis alia inesse ipsi necesse est, alia adiutricia atque vtilia instrumentaria natura sunt. Atque hæc cum iis quæ in principio diximus, consentiunt. finem enim ciuilis facultatis optimum esse statuebamus. at hæc magnam diligentiam adhibet, vt ciues quodammodo afficiat, bonósque & ad honesta agenda idoneos reddat. Meritò igitur neque bouem, neque equum, aut quippiam aliud animal fœlix appellamus: quippe cùm nullum ex ipsis talis operationis esse particeps possit. Eadem etiam de causa neque puer fœlix est: nondum enim est ad tales res agendas per ætatem idoneus: qui verò dicuntur fœlices, spe dicuntur. Nam, sicut diximus, & perfecta virtute, & vita perfecta opus est. Multæ enim mutationes, & variæ fortunæ in vita contingunt: & fieri potest, vt qui maximè prosperitate floruerit, is in senectute in magnas calamitates incidat, sicut in Heroicis de Priamo fabulis proditum est.

ὅθεν εἰς ταυτὸ τάττουσιν ἔνιοι τὴν εὐτυχίαν τῇ εὐδαιμονίᾳ, ἕτεροι δὲ τὴν ἀρετήν.

Κεφάλαιον ι.

A licet apud Sypontinos paulo constrictior. Sed regia illa potestas plenissima, per quam rex omnia ex voluntate sua gubernat, videtur quibusdam non esse secundum naturã vt vnus omnium dominus sit ciuium, cùm ex similib. ciuitas constet. nã similib. natura idẽ ius esse necessarium est, & eandem dignitatem secundum naturam, quare vt parem habere impares alimoniam, aut vestem, nocium est corporibus: ita & in honoribus res se habet: B similiter ergo & inæqualem inæqualibus, ex quo non magis præesse quàm subesse iustum est, & per vicissitudinem eodem modo, & hæc iam lex. nam institutio lex est. Melius est igitur vt lex dominetur, quàm aliquis ciuium, eadémque ista ratione si quos præesse oportet, ita sunt præficiendi, vt custodes legum atque ministri. necesse est enim esse aliquos magistratus cum potestate, sed nõ vnum hunc C esse debere aiunt in ciuium paritate. Quęcunq. tamen videntur per legem quidem terminari non posse, per hominem verò cognosci posse, prudẽter eadem lex adiungit, cætera iustissima intentione iudicari debere per eos qui iudiciis præsunt, ac insuper emẽdare permittit, quid videatur conantibus vt melius disponatur quàm sicut iacet. Qui igitur legem præesse iubent, videntur iubere Deum præesse & leD ges: qui autem hominem iubet præesse adiungit & bestiam, libido quippe talis est, atque obliquos agit etiam viros optimos qui sunt in potestate, ex quo mẽs absque appetitu lex est. Videtur autem de artibus falsum esse exemplum, quòd secundum literas medicari vanũ esset, meliúsq. fore si possidentibus artem vtamur. nam illi quidem nihil contra rationem per amicitiam agunt: sed recusant mercedem E accipere, cùm sanos fecerint. At in ciuilibus magistratibus multi per affectionem & gratiam consueuerunt delinquere, cum si de fide medici timeretur, ac suspitio foret, ne susceptio ab inimicis pretio necare velit, tunc ex literis curam magis optaremus. Atqui ægrotantes medici alios ad se medicos vocant, & magistri palæstræ alios magistros: quasi nequeant verum discernere qui de propriis indiF cant, & in affectu constituti sunt. quare manifestum est, quòd iustum quærentes, medium quærunt. Lex enim medium est.

A περὶ δὲ τῆς παμβασιλείας καλουμένης, αὕτη δ' ἐστὶ καθ' ἣν ἄρχει πάντων κατὰ τὴν ἑαυτοῦ βούλησιν ὁ βασιλεύς, [λεκτέον.] δοκεῖ δέ τισιν οὐδὲ κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν, ὅπου συνέστηκεν ἐξ ὁμοίων ἡ πόλις· τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον ἀναγκαῖον καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν εἶναι. ὥστ' εἴπερ καὶ τὸ ἴσην ἔχειν τοὺς ἀνίσους τροφὴν ἢ ἐσθῆτα, βλαβερὸν τοῖς σώμασιν, B οὕτως ἔχει καὶ τὸ περὶ τὰς τιμάς· ὁμοίως τοίνυν καὶ τὸ ἄνισον τοὺς ἴσους. διόπερ οὐδὲν μᾶλλον ἄρχειν ἢ ἄρχεσθαι δίκαιον, καὶ τὸ ἀνὰ μέρος τοίνυν ὡσαύτως. τοῦτο δ' ἤδη νόμος. ἡ γὰρ τάξις, νόμος. τὸν ἄρα νόμον ἄρχειν αἱρετώτερον μᾶλλον ἢ τῶν πολιτῶν ἕνα τινά. κατὰ τὸν αὐτὸν δὲ λόγον τοῦτον, κἂν εἴ τινας ἄρχειν βέλτιον, τούτους καταστατέον C νομοφύλακας καὶ ὑπηρέτας τοῖς νόμοις. ἀναγκαῖον γὰρ εἶναί τινας ἀρχάς, ἀλλ' οὐχ ἕνα τοῦτον εἶναί φασι δίκαιον, ὁμοίων γε ὄντων πάντων. ἀλλὰ μὴν ὅσα γε μὴ δοκεῖ δύνασθαι διορίζειν ὁ νόμος, οὐδ' ἄνθρωπος ἂν δύναιτο γνωρίζειν. ἀλλ' ἐπίτηδες παιδεύσας ὁ νόμος ἐφίστησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν καὶ διοικεῖν τοὺς ἄρχοντας. ἔτι δ' ἐπανορθοῦσθαι δίδωσιν, ὅ τι ἂν δόξῃ D πειρωμένοις ἄμεινον εἶναι τῶν κειμένων. ὁ μὲν οὖν τὸν νοῦν κελεύων ἄρχειν, δοκεῖ κελεύειν ἄρχειν τὸν θεὸν καὶ τοὺς νόμους· ὁ δ' ἄνθρωπον κελεύων, προστίθησι καὶ θηρίον. ἥ τε γὰρ ἐπιθυμία τοιοῦτον, καὶ ὁ θυμὸς ἄρχοντας διαστρέφει, καὶ τοὺς ἀρίστους ἄνδρας. διόπερ ἄνευ ὀρέξεως νοῦς ὁ νόμος ἐστί. τὸ δὲ τῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ κατὰ γράμματα E ἰατρεύεσθαι φαῦλον, ἀλλὰ καὶ αἱρετώτερον χρῆσθαι τοῖς ἔχουσι τὰς τέχνας. οἱ μὲν γὰρ οὐδὲν διὰ φιλίαν παρὰ τὸν λόγον ποιοῦσιν, ἀλλ' ἄρνυνται τὸν μισθὸν τοὺς κάμνοντας ὑγιάσαντες· οἱ δ' ἐν ταῖς πολιτικαῖς ἀρχαῖς πολλὰ πρὸς ἐπήρειαν καὶ χάριν εἰώθασι πράττειν, ἐπεὶ καὶ τοὺς ἰατρούς, ὅταν ὑποπτεύωσι πιστευθέντας τοῖς ἐχθροῖς διαφθείρειν διὰ κέρδος, τότε τὴν ἐκ τῶν γραμμάτων θεραπείαν F ζητήσαιεν ἂν μᾶλλον. ἀλλὰ μὴν εἰσάγονταί γ' ἐφ' ἑαυτοὺς οἱ ἰατροὶ κάμνοντες ἄλλους ἰατρούς, καὶ οἱ παιδοτρίβαι γυμναζόμενοι παιδοτρίβας, ὡς οὐ δυνάμενοι κρίνειν τὸ ἀληθὲς διὰ τὸ κρίνειν περί τε οἰκείων καὶ ἐν πάθει ὄντες. ὥστε δῆλον ὅτι τὸ δίκαιον ζητοῦντες, τὸ μέσον ζητοῦσιν· ὁ γὰρ νόμος τὸ μέσον. ἔτι κυ-

ριώτεροι καὶ περὶ κυριωτέρων τῶν κατὰ A γράμματα νόμων οἱ κατὰ τὰ ἔθη εἰσίν. ὥστ' εἰ τῶν κατὰ γράμματα ἄνθρωπος ἄρχων ἀσφαλέστερος, ἀλλ' οὐ τῶν κατὰ τὸ ἔθος. ἀλλὰ μὴν οὐδὲ ῥᾴδιον ἐφορᾶν πολλὰ τὸν ἕνα. δεήσει ἄρα πλείονας εἶναι τοὺς ὑπ' αὐτοῦ καθισταμένους ἄρχοντας. ὥστε τί διαφέρει τοῦτο ἐξ ἀρχῆς εὐθὺς ὑπάρχειν, ἢ τὸν ἕνα καταστῆσαι τοῦτον τὸν τρόπον; ἔτι, ὃ καὶ πρότερον εἰρημένον ἐστίν, εἴπερ B ὁ ἀνὴρ ὁ σπουδαῖος, διότι βελτίων, ἄρχειν δίκαιος· τοῦ δὲ ἑνὸς οἱ δύο ἀγαθοὶ βελτίους. τοῦτο γάρ ἐστι τό,

Σύν τε δύ' ἐρχομένω· καὶ ἡ εὐχὴ τοῦ Ἀγαμέμνονος,

Τοιοῦτοι δέκα μοι συμφράδμονες.

εἰσὶ δὲ καὶ νῦν περὶ ἐνίων αἱ ἀρχαὶ κύριαι κρίνειν, ὥσπερ ὁ δικαστής, περὶ ὧν ὁ νόμος ἀδυνατεῖ διορίζειν. ἐπεὶ περὶ ὧν γε δυνατός, οὐ- C δεὶς ἀμφισβητεῖ περὶ τούτων. ἀλλ' ἐπειδὴ τὰ μὲν ἐνδέχεται περιληφθῆναι τοῖς νόμοις, τὰ δ' ἀδύνατα, ταῦτ' ἐστὶν ἃ ποιεῖ διαπορεῖν καὶ ζητεῖν, πότερον τὸν ἄριστον νόμον ἄρχειν αἱρετώτερον, ἢ τὸν ἄνδρα τὸν ἄριστον. περὶ ὧν γὰρ βουλεύονται νομοθετῆσαι, τῶν ἀδυνάτων ἐστίν. οὐ τοίνυν τοῦτό γ' ἀντιλέγουσιν, ὡς οὐκ ἀναγκαῖον ἄνθρωπον εἶναι τὸν κρινοῦντα D περὶ τῶν τοιούτων, ἀλλ' ὅτι οὐχ ἕνα μόνον, ἀλλὰ πολλούς. κρίνει γὰρ ἕκαστος ἄρχων πεπαιδευμένος ὑπὸ τοῦ νόμου καλῶς. ἄτοπον δ' ἴσως ἂν εἶναι δόξειεν, εἰ βέλτιον ἴδοι τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων, καὶ πράττων δυσὶ ποσὶ καὶ χερσίν, ἢ πολλοὶ πολλοῖς. ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὑτῶν, καὶ ὦτα, καὶ χεῖρας, E καὶ πόδας. τοὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτοῦ φίλους ποιοῦνται συνάρχους. μὴ φίλοι μὲν οὖν ὄντες, οὐ ποιήσουσι κατὰ τὴν τοῦ μονάρχου προαίρεσιν· εἰ δὲ φίλοι κἀκείνου καὶ τῆς ἀρχῆς, ὅ γε φίλος ἴσος καὶ ὅμοιος. ὥστ' εἰ τούτους οἴεται δεῖν ἄρχειν, τοὺς ἴσους καὶ ὁμοίους ἄρχειν οἴεται δεῖν ὁμοίως. ἃ μὲν οὖν οἱ διαμφισβητοῦντες πρὸς τὴν βασιλείαν λέγουσι, σχε- F δὸν ταῦτ' ἐστίν.

Κεφάλαιον ιζ'.

Ἀλλ' ἴσως ταῦτ' ἐπὶ μὲν τινων ἔχει τὸν τρόπον τοῦτον, ἐπὶ δὲ τινων οὐχ οὕτως. ἔστι γάρ τι φύσει δεσποτικόν, καὶ ἄλλο βασιλευτικόν, καὶ ἄλλο πολιτικόν, καὶ δίκαιον, καὶ συμφέρον·

A Præterea validiores, & de validioribus rebus leges sunt illæ, quę ex moribus proueniunt, quàm quæ ex literis: quare si minus fallitur homo magistratum gerens quàm hi qui secundum literas, non tamen quàm hi qui secundum consuetudinem. Atqui nec facile est vnum discernere: opus erit ergo, vt plures sint sub eo magistratum gerentes. itaque quid refert hoc, statim ab initio prouidere, vel expectare, B vt ipse vnus aliis ista committat. Insuper quod prius dicebatur, siquidem vir studiosus, quoniam melior sit præesse debet, vno autem duo boni meliores sunt. Hoc enim est quod Homerus ait:

--Duo simul euntes.

Et optatio Agamemnonis:

Vtinam tales mihi decẽ consultores adessent.

Sunt autem etiam nunc magistratus cum potestate iudicandi de quibusdam, ceu iuC dex de quibus lex prouidere non potest. nam de quibus lex determinare potest, nemo dubitaret. Sed cum quædam comprehendi legibus possint, quædam non possint: & hæc sint illa quæ dubitationem & quæstionem faciunt verum melius sit ab optima lege, an ab optimo viro gubernari: nam quæ in consultationem veniunt, de eisdem ferri legem impossibile est: nõ igitur hoc aiunt, quòd necessarium sit hoD minem de huiusmodi rebus iudicare, sed quòd non vnum solum sed plures. iudicat enim vnusquisque in magistratu bene, si sit eruditus primo à lege. Forsan verò absurdum videri posset, si melius cernat duobus oculis, & duobus auribus audiat, & duobus pedibus, duabúsque manibus agat, quàm plures pluribus: cùm & nunc quidem reges & tyranni oculos plures sibi comparent, & aures, & manus, & E pedes præficiendo amicos, & curationem rerum eis committendo, qui nisi sint amici, non faciunt secundum illorum intentionem: si verò sint amici, & status illorum & personarum: amicus autem par & similis, quare si eos censet præficiendos, certè pares ac similes gubernationi præesse censet oportere. Quæ igitur contendentes contra regiam gubernationem aiunt, ferè ista sunt.

F

CAPVT XVII.

Sed hæc forsan in quibusdam ita se habet, in quibusdã autẽ non ita. Est enim quiddam natura dominabile, aliud regibile, aliud populare, & iustum, & vtile.

tyrannicum verò non est secundum naturam, nec vlla aliarum gubernationum, quæ rectam transgrediuntur formam, hæ enim sunt præter naturam, Sed ex his quę dicta sunt, patet, quòd in similibus & paribus nec vtile est neque iustum, vt vnus sit dominus omnium: neque si non sint leges, sed tanquam ipse sit lex: neque si sint leges, neque bonus bonorum, neque non bonorum non bonus: neque si secundum virtutem sit melior, nisi per quendam modum. Quis autem iste sit modus, dicendũ est. diximus verò aliqualiter & ante. Et primò determinandum est, quid cõgruat regi, quid optimatibus, quid reipublicæ. Regibus congruit huiusmodi multitudo, quæ natura apta sit ferre genus præstans virtute ad principatum ciuilem. Optimatibus verò congruens est multitudo liberorum, quæ nata sit ad ferendam gubernationem eorum, qui sunt secundum virtutem primarij. Ad ciuilem gubernationem autem reipublicæ congruit ea multitudo, in qua populus innascitur bellicus qui gubernari possit, & gubernare secundum leges & æquitatem, impartiens tenuioribus honores & magistratus. Quando igitur aut totum genus, aut inter alios vnum aliquem ita virtute præcellere contingat, vt vnius ipsius virtus maior sit aliorum omnium virtute, tunc iustum est hoc esse regium genus, & omnium dominari, & hunc vnum esse regem. Vt enim dictum est prius, non solum id habet iustitiam, quam præferre solent rerumpublicarum institutores, & qui optimatum, & qui paucorum potentiæ, & qui popularis. omnes enim secundum excellentiam tribuunt, sed excellentiam non eandem, sed secundum prius dicta. neque interficere, neque in exilium agere, neque relegare hunc posse decet, neque dignari vt per vices gubernet. non enim natura fit, vt pars superet totum. habenti verò tantam excellentiam hoc accidit. restat ergo vt huic suadenti pareatur, & potestatem eum habere, non per vices, sed simpliciter. De regia igitur gubernatione, & quas differentias habeat, & verum vtile sit ciuitatibus vel nõ, & de quibus & quomodo in hunc modum determinatum sit.

CAPVT XVIII.

Cvm verò tres dixerimus esse rectas gubernãdi species: harũ verò necessariũ sit eã esse optimã, quæ ab optimis gubernetur: talis autem est, in qua contingit aut vnum aliquem omnium, aut genus totum, aut multitudinem virtute præstantem gubernare eos, qui gubernari valeant, ad eam vitam quæ sit maximè expetenda: & in primis libris ostensum sit necessarium esse, vt sit eadem virtus boni viri & ciuis optimæ ciuitatis: patet quòd eodem modo & per eadem sit vir bonus, & ciuitatem statueret quis ab optimis gubernari, vel à rege. itaque eadem ferè disciplina & iidem mores faciunt studiosum virum, qui faciunt ciuilem & regium. His determinatis, conandum iam erit de optima republica dicere, quemadmodum fiat, & quomodo constituatur. nam necesse est de illa conuenientem considerationem facere.

τυραννικὸν δ' οὐκ ἔστι κατὰ φύσιν, οὐδὲ τῶν ἄλλων πολιτειῶν ὅσαι παρεκβάσεις εἰσί· ταῦτα γὰρ γίνεται παρὰ φύσιν. ἀλλ' ἐκ τῶν εἰρημένων γε φανερὸν, ὡς ἐν μὲν τοῖς ὁμοίοις καὶ ἴσοις, οὔτε συμφέρον ἐστὶν οὔτε δίκαιον ἕνα κύριον εἶναι πάντων, οὔτε μὴ νόμων ὄντων, ἀλλ' αὐτὸν ὡς ὄντα νόμον, οὔτε νόμων ὄντων, οὔτε ἀγαθὸν ἀγαθῶν, οὔτε μὴ ἀγαθῶν μὴ ἀγαθὸν, οὐδ' ἂν κατ' ἀρετὴν ἀμείνων ᾖ, εἰ μὴ τρόπον τινά. τίς δ' ὁ τρόπος, λεκτέον· εἴρηται δέ πως ἤδη καὶ πρότερον. πρῶτον δὲ διοριστέον τί τὸ βασιλευτὸν, καὶ τί τὸ ἀριστοκρατικὸν, καὶ τί τὸ πολιτικόν. βασιλευτὸν μὲν οὖν τὸ τοιοῦτόν ἐστι πλῆθος, ὃ πέφυκε φέρειν γένος ὑπερέχον κατ' ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν· ἀριστοκρατικὸν δὲ πλῆθος, ὃ πέφυκε φέρειν πλῆθος ἄρχεσθαι δυνάμενον τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ' ἀρετὴν ἡγεμονικῶν πρὸς πολιτικὴν ἀρχήν· πολιτικὸν δὲ πλῆθος, ἐν ᾧ πέφυκεν [ἐγγί-] γίνεσθαι πλῆθος πολεμικὸν, δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ' ἀξίαν διανέμοντα τοῖς εὐπόροις τὰς ἀρχάς. ὅταν οὖν ἢ γένος ὅλον, ἢ καὶ τῶν ἄλλων ἕνα τινὰ συμβῇ διαφέροντα γενέσθαι κατ' ἀρετὴν τοσοῦτον, ὥσθ' ὑπερέχειν τὴν ἐκείνου τῆς τῶν ἄλλων πάντων, τότε δίκαιον τὸ γένος εἶναι τοῦτο βασιλικὸν, καὶ κύριον πάντων, καὶ βασιλέα τὸν ἕνα τοῦτον. καθάπερ γὰρ εἴρηται πρότερον, οὐ μόνον οὕτως ἔχει κατὰ τὸ δίκαιον, ὃ προφέρειν εἰώθασιν οἱ τὰς πολιτείας καθιστάντες, οἵ τε τὰς ἀριστοκρατικὰς, καὶ οἱ τὰς ὀλιγαρχικὰς, καὶ πάλιν οἱ τὰς δημοκρατικάς. πάντες γὰρ καθ' ὑπεροχὴν ἀξιοῦσιν, ἀλλ' ὑπεροχὴν οὐ τὴν αὐτήν· ἀλλὰ καὶ κατὰ τὸ πρότερον λεχθέν. οὔτε γὰρ κτείνειν, ἢ φυγαδεύειν, οὐδ' ὀστρακίζειν δήπου τὸν τοιοῦτον πρέπον ἐστὶν, οὔτ' ἀξιοῦν ἄρχεσθαι κατὰ μέρος· οὐ γὰρ πέφυκε τὸ μέρος ὑπερέχειν τοῦ παντός. τῷ δὲ τὴν τηλικαύτην ὑπερβολὴν ἔχοντι τοῦτο συμβέβηκεν. ὥστε λείπεται μόνον τὸ πείθεσθαι τῷ τοιούτῳ, καὶ κύριον εἶναι μὴ κατὰ μέρος τοῦτον, ἀλλ' ἁπλῶς. περὶ μὲν οὖν βασιλείας, τίνας ἔχει διαφορὰς, καὶ πότερον οὐ συμφέρει ταῖς πόλεσιν, ἢ συμφέρει, καὶ τίσι, καὶ πῶς, διωρίσθω τὸν τρόπον τοῦτον.

Κεφάλαιον ιη.

Ἐπεὶ δὲ τρεῖς φαμὲν εἶναι τὰς ὀρθὰς πολιτείας, τούτων δ' ἀναγκαῖον ἀρίστην εἶναι τὴν ὑπὸ τῶν ἀρίστων οἰκονομουμένην· τοιαύτη δ' ἐστὶν ἐν ᾗ συμβέβηκεν, ἢ ἕνα τινὰ συμπάντων,

ἢ γένος

ἢ γένος ὅλον, ἢ πλῆθος ὑπερέχειν εἶναι κατ' ἀρετὴν, τῶν μὲν ἄρχεσθαι δυναμένων, τῶν δ' ἄρχειν, πρὸς τὴν αἱρετωτάτην ζωήν· ἐν δὲ τοῖς πρώτοις ἐδείχθη λόγοις, ὅτι τὴν αὐτὴν ἀναγκαῖον ἀνδρὸς ἀρετὴν εἶναι καὶ πολίτου τῆς πόλεως τῆς ἀρίστης· φανερὸν ὅτι τὸν αὐτὸν τρόπον, καὶ διὰ τῶν αὐτῶν ἀνήρ τε γίνεται σπουδαῖος, καὶ πόλιν συστήσειεν ἄν τις ἀριστοκρατουμένην, ἢ βασιλευομένην. ὥστ' ἔσται καὶ παιδεία καὶ ἔθη ταυτὰ σχεδὸν τὰ ποιοῦντα σπουδαῖον ἄνδρα, καὶ τὰ ποιοῦντα πολιτικὸν καὶ βασιλικόν. διωρισμένων δὲ τούτων, περὶ τῆς πολιτείας ἤδη πειρατέον λέγειν τῆς ἀρίστης, τίνα πέφυκε γίνεσθαι τρόπον, καὶ καθίστασθαι πῶς. ἀνάγκη γὰρ δὴ τὸν μέλλοντα περὶ αὐτῆς ποιήσασθαι τὴν προσήκουσαν σκέψιν.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

πολιτικῶν τὸ Δ.

Κεφάλαιον α.

Ἐν ἁπάσαις ταῖς τέχναις καὶ ταῖς ἐπιστήμαις, ταῖς μὴ κατὰ μόριον γινομέναις, ἀλλὰ περὶ γένος ἕν τι τελείαις οὔσαις, μιᾶς ἐστι θεωρῆσαι τὸ περὶ ἕκαστον γένος ἁρμόττον· οἷον ἄσκησις σώματι ποία τε ποίῳ συμφέρει, καὶ τίς ἀρίστη. τῷ γὰρ κάλλιστα πεφυκότι, καὶ κεχορηγημένῳ, τὴν ἀρίστην ἀναγκαῖον ἁρμόττειν· καὶ τίς τοῖς πλείστοις μία πᾶσι· καὶ γὰρ τοῦτο τῆς γυμναστικῆς ἐστιν. ἔτι δ' ἐάν τις μὴ τῆς ἱκνουμένης ἐπιθυμῇ μήθ' ἕξεως, μήτ' ἐπιστήμης τῆς περὶ τὴν ἀγωνίαν, μηδὲν ἧττον τοῦ παιδοτρίβου καὶ τοῦ γυμναστικοῦ παρασκευάσαι γε καὶ ταύτην ἐστὶ τὴν δύναμιν. ὁμοίως δὲ τοῦτο καὶ περὶ ἰατρικὴν, καὶ περὶ ναυπηγίαν, καὶ ἐσθῆτα, καὶ περὶ πᾶσαν ἄλλην τέχνην ὁρῶμεν συμβαῖνον. ὥστε δῆλον ὅτι καὶ πολιτείαν τῆς αὐτῆς ἐστιν ἐπιστήμης τὴν ἀρίστην θεωρῆσαι τίς ἐστι, καὶ ποία τις ἂν οὖσα μάλιστ' εἴη κατ' εὐχὴν, μηδενὸς ἐμποδίζοντος τῶν ἐκτὸς, καὶ τίς τίσιν ἁρμόττουσα. πολλοῖς γὰρ τῆς ἀρίστης τυχεῖν ἴσως ἀδύνατον. ὥστε τὴν κρατίστην τε ἁπλῶς, καὶ τὴν ἐκ τῶν ὑποκειμένων ἀρίστην, οὐ δεῖ λεληθέναι τὸν νομοθέτην, καὶ τὸν ὡς ἀληθῶς πολιτικόν. ἔτι δὲ τρίτην τὴν ἐξ ὑποθέσεως. δεῖ γὰρ καὶ τὴν δοθεῖσαν δύνασθαι θεωρεῖν, ἐξ ἀρχῆς τε πῶς ἂν γένοιτο, καὶ γενομένη τίνα τρόπον ἂν σώζοιτο πλεῖστον χρόνον·

ARISTOTELIS

Politicorum

LIBER QVARTVS.

CAPVT I.

In cunctis artibus & scientiis quæ non circa partem sed circa genus aliquod perfectæ existunt, vnius est considerare, quid cuique conueniat generi: ceu exercitatio corporis qualis quali conueniat, & quæ sit optima. optimè enim natura disposito & optimè distributo, optimam conuenire necessarium est, & quæ plurimis, vna omnibus: etenim hoc gymnasticæ est. Præterea verò, siquis non exactum illum cupiat habitum & scientiam circa certamina, nihilominus magistri gymnasiorum est hanc potentiam præparare. eodémque modo in medicina, & in fabricatione nauium, & vestium & in omni alio artificio videmus contingere. Quare manifestum est, quòd eiusdẽ est scientiæ videre quæ sit optima respublica, & qualis maximè ad votum foret, nullo externorũ eam impediente. & quę quibus conueniat. nam plures optimam assequi, forsan impossibile est. Itaque & ea quæ sit simpliciter optima, & ea quæ quantum fieri potest optima, latere nõ debet legis conditorem, ac verè ciuilem hominem. Ac præterea tertia quę sit ex suppositione. nam oportet datam quoque considerare posse, quemadmodum ab initio constituatur, & constituta seruaretur quamplurimo tempore.

Universidad de Deusto Biblioteca

Dico autem ceu si cui ciuilitati contigerit, neque optimam gubernationem habere, neque necessaria illi adesse, neque illis ipsis quæ adsunt rectè vti, sed aliis deterioribus. præter hæc autem omnia, eam gubernationem, quæ omnibus maximè congruat ciuitatibus nosse oportet: vt tradunt plurimi eorum qui de republica tractant. Et si de aliis rectè dicant, de vtilibus certè aberrant. non solùm enim optimam rempublicam considerare oportet, sed etiam illam quæ in vsum cadere possit, & quæ sit facilior & communior omnibus. Nunc autem alij supremam quærunt solum, multis adminiculis indigentem: alij magis communem aliquam tradentes, tollentésque eas quæ in vsu sunt, Laconicam, vel aliam quandam commendant. At enim oportet talem institutionem reipublicæ inducere, vt velint ac possint homines ex his quę sibi adsunt, faciliter eam recipere. Nam est non minus difficile corrigere rempublicam iam institutam, quàm ab initio instituere. quemadmodum & post discere, quàm ab initio didicisse. Quapropter non solùm his quæ libris scriptæ sunt rebuspublicis, verumetiam illis quæ re vera existunt auxiliari posse decet ciuilem hominem, vt diximus. Hoc autem facere non potest, si ignoret quod sint species earum. nam nunc quidam putant vnam esse popularem, & vnam paucorum potentum: quod non est verum. Itaque oportet non latere differentias omnium, & quot sint, & quotuplicitet componantur. Leges etiam simul cum his considerandæ erunt, quæ sunt optimæ, & quæ conueniant vnicuique gubernationi. Sunt enim leges omnes ad rempublicam accommodandę, non autem respublica ad legem. est nanque respublica institutio ciuitatis circa magistratus honorésque publicos, quemadmodum debeant impartiri, & in quo potestas autoritásque summa debeat consistere, & qui sit finis cuiusque societatis. Leges autem earum variæ sunt, per quas modus reipublicæ gubernandæ significatur secundum quas, debeant illi qui sunt in potestate imperare, & prohibere transgressores. Ex quo patet, quòd necessarium est differentias & numerum tenere singularum rerumpublicarum, etiam ad legum positiones. neque enim fieri potest, vt eædem leges vtiles sint paucorum potentiæ, ac popularibus omnibus. siquidem plures sunt, & non vna popularis potestas, neque vna duntaxat paucorum potentia.

λέγω δὲ, ἤ εἴ τις πόλει συμβέβηκε μήτε τὴν ἀρίστην πολιτεύεσθαι πολιτείαν, ἀχορήγητόν τε εἶναι καὶ τῶν ἀναγκαίων, μήτε τὴν ἐνδεχομένην ἐκ τῶν ὑπαρχόντων, ἀλλά τινα φαυλοτέραν. παρὰ πάντα δὲ ταῦτα τὴν μάλιστα πάσαις ταῖς πόλεσιν ἁρμόττουσαν δεῖ γνωρίζειν. ὥσθ' οἱ πλεῖστοι τῶν ἀποφαινομένων περὶ πολιτείας, καὶ εἰ τἆλλα λέγουσι καλῶς, τῶν γε χρησίμων διαμαρτάνουσιν. οὐ γὰρ μόνον τὴν ἀρίστην δεῖ θεωρεῖν, ἀλλὰ καὶ τὴν δυνατήν, ὁμοίως δὲ καὶ τὴν ῥᾴω καὶ κοινοτέραν ἁπάσαις. νῦν δ' οἱ μὲν τὴν ἀκροτάτην καὶ δεομένην πολλῆς χορηγίας ζητοῦσι μόνον, οἱ δὲ μᾶλλον κοινήν τινα λέγοντες, τὰς ὑπαρχούσας ἀναιροῦντες πολιτείας, τὴν Λακωνικὴν ἤ τινα ἄλλην ἐπαινοῦσι. χρὴ δὲ τοιαύτην εἰσηγεῖσθαι τάξιν ἣν ῥᾳδίως ἐκ τῶν ὑπαρχόντων καὶ πεισθήσονται καὶ δυνήσονται κοινωνεῖν, ὡς ἔστιν οὐκ ἔλαττον ἔργον τὸ ἐπανορθῶσαι πολιτείαν ἢ κατασκευάζειν ἐξ ἀρχῆς, ὥσπερ καὶ τὸ μεταμανθάνειν ἢ μανθάνειν ἐξ ἀρχῆς. διὸ πρὸς τοῖς εἰρημένοις καὶ ταῖς ὑπαρχούσαις πολιτείαις δεῖ δύνασθαι βοηθεῖν τὸν πολιτικόν, καθάπερ ἐλέχθη καὶ πρότερον. τοῦτο δὲ ἀδύνατον ἀγνοοῦντα πόσα πολιτείας ἐστὶν εἴδη. νῦν δὲ μίαν δημοκρατίαν οἴονταί τινες εἶναι καὶ μίαν ὀλιγαρχίαν· οὐκ ἔστι δὲ τοῦτ' ἀληθές. ὥστε δεῖ τὰς διαφορὰς μὴ λανθάνειν τὰς τῶν πολιτειῶν, πόσαι, καὶ συντίθενται ποσαχῶς. μετὰ δὲ τῆς αὐτῆς φρονήσεως ταύτης καὶ νόμους τοὺς ἀρίστους ἰδεῖν καὶ τοὺς ἑκάστῃ τῶν πολιτειῶν ἁρμόττοντας. πρὸς γὰρ τὰς πολιτείας τοὺς νόμους δεῖ τίθεσθαι καὶ τίθενται πάντες, ἀλλ' οὐ τὰς πολιτείας πρὸς τοὺς νόμους. πολιτεία μὲν γάρ ἐστι τάξις ταῖς πόλεσιν ἡ περὶ τὰς ἀρχάς, τίνα τρόπον νενέμηνται, καὶ τί τὸ κύριον τῆς πολιτείας, καὶ τί τὸ τέλος ἑκάστης τῆς κοινωνίας ἐστίν· νόμοι δ' οἱ κεχωρισμένοι τῶν δηλούντων τὴν πολιτείαν, καθ' οὓς δεῖ τοὺς ἄρχοντας ἄρχειν καὶ φυλάττειν τοὺς παραβαίνοντας αὐτούς. ὥστε δῆλον ὅτι τὰς διαφορὰς ἀναγκαῖον καὶ τὸν ἀριθμὸν ἔχειν τῆς πολιτείας ἑκάστης καὶ πρὸς τὰς τῶν νόμων θέσεις. οὐ γὰρ οἷόν τε τοὺς αὐτοὺς νόμους συμφέρειν ταῖς ὀλιγαρχίαις οὐδὲ ταῖς δημοκρατίαις πάσαις, εἴπερ δὴ πλείους καὶ μὴ μία δημοκρατία μηδὲ ὀλιγαρχία μόνον ἐστίν.

Κεφά-

Κεφάλαιον β.

Ἐπεὶ δ' ἐν τῇ πρώτῃ μεθόδῳ περὶ τῶν πολιτειῶν διειλόμεθα, τρεῖς μὲν τὰς ὀρθὰς πολιτείας, βασιλείαν, ἀριστοκρατίαν, πολιτείαν, τρεῖς δὲ τὰς τούτων παρεκβάσεις, τυραννίδα μὲν βασιλείας, ὀλιγαρχίαν δὲ ἀριστοκρατίας, δημοκρατίαν δὲ πολιτείας, καὶ περὶ μὲν ἀριστοκρατίας καὶ βασιλείας εἴρηται· τὸ γὰρ περὶ τῆς ἀρίστης πολιτείας θεωρῆσαι ταὐτὸ καὶ περὶ τούτων ἐστὶν εἰπεῖν τῶν ὀνομάτων· βούλεται γὰρ ἑκατέρα κατ' ἀρετὴν συνεστάναι κεχορηγημένην. ἔτι δὲ τί διαφέρουσιν ἀλλήλων ἀριστοκρατία καὶ βασιλεία, καὶ πότε δεῖ βασιλείαν νομίζειν, διώρισται πρότερον· λοιπὸν περὶ πολιτείας διελθεῖν τῆς τῷ κοινῷ προσαγορευομένης ὀνόματι, καὶ περὶ τῶν ἄλλων πολιτειῶν, ὀλιγαρχίας τε καὶ δημοκρατίας καὶ τυραννίδος. φανερὸν μὲν οὖν καὶ τούτων τῶν παρεκβάσεων τίς χειρίστη καὶ δευτέρα τίς. ἀνάγκη γὰρ τὴν μὲν τῆς πρώτης καὶ θειοτάτης παρέκβασιν εἶναι χειρίστην, τὴν δὲ βασιλείαν ἀναγκαῖον [ἢ] τοὔνομα μόνον ἔχειν οὐκ οὖσαν, ἢ διὰ πολλὴν ὑπεροχὴν εἶναι τὴν τοῦ βασιλεύοντος. ὥστε [τὴν] τυραννίδα χειρίστην οὖσαν πλεῖστον ἀπέχειν πολιτείας, δεύτερον δὲ τὴν ὀλιγαρχίαν· ἡ γὰρ ἀριστοκρατία διέστηκεν ἀπὸ ταύτης πολὺ τῆς πολιτείας· μετριωτάτην δὲ τὴν δημοκρατίαν. ἤδη μὲν οὖν τις ἀπεφήνατο καὶ τῶν πρότερον οὕτως, οὐ μὴν εἰς ταὐτὸ βλέπων ἡμῖν. ἐκεῖνος μὲν γὰρ ἔκρινε, πασῶν μὲν οὐσῶν ἐπιεικῶν, οἷον ὀλιγαρχίας τε χρηστῆς καὶ τῶν ἄλλων, χειρίστην δημοκρατίαν, φαύλων δὲ ἀρίστην· ἡμεῖς δὲ ὅλως ταύτας ἐξημαρτημένας εἶναί φαμεν, καὶ βελτίω μὲν ὀλιγαρχίαν ἄλλην ἄλλης οὐ καλῶς ἔχει λέγειν, ἧττον δὲ φαύλην. ἀλλὰ περὶ μὲν τῆς τοιαύτης κρίσεως ἀφείσθω τανῦν. ἡμῖν δὲ πρῶτον μὲν διαιρετέον, πόσαι διαφοραὶ τῶν πολιτειῶν, εἴπερ ἔστιν εἴδη πλείονα τῆς τε δημοκρατίας καὶ τῆς ὀλιγαρχίας. ἔπειτα τίς κοινοτάτη καὶ τίς αἱρετωτάτη μετὰ τὴν ἀρίστην πολιτείαν, κἂν εἴ τις ἄλλη τετύχηκεν ἀριστοκρατικὴ καὶ συνεστῶσα καλῶς, ἀλλὰ ταῖς πλείσταις ἁρμόττουσα πόλεσι, τίς ἐστιν. ἔπειτα καὶ τῶν ἄλλων τίς τίσιν αἱρετή· τάχα γὰρ τοῖς μὲν ἀναγκαία δημοκρατία μᾶλλον ὀλιγαρχίας, τοῖς δ' αὕτη

CAPVT II.

CVm verò in præcedentibus dictum sit à nobis, tres esse rerum publicarum species rectas, Regnum, Optimatem, & eam quæ appellatur Respublica: ac tres earum transgressiones & labes, cùm regnum in tyrannidem, optimorum autem gubernatio in paucorum potentiam, respublica autem in popularem statum labatur: & de optimatum gubernatione & regia sit dictum: nam de optima republica considerare idem est, ac de illis dicere. vult enim vtraque illarum per virtutem, cæteris opportunius concurrentibus consistere: & insuper quid inter se differat regia potestas, & optimorum gubernatio: & quando regia gubernatio putanda sit, determinauimus: restat nunc vt de illa quæ appellatur respublica dicamus, & de cæteris gubernandi formis, vt de paucorum potentia, ac de populari statu, & de tyrannide. Patet igitur harum transgressionum quæ deterrima sit quæve secunda. necesse est enim primæ & diuinissimæ transgressionem, esse deterrimam: Regiam quippe gubernationem, necesse est aut nomen habere solum, cùm non sit: aut propter magnam illius, qui regit excellentiam, esse. Ex quo fit, tyrannidem deterrimam existere, ac plurimum à recta specie gubernandi abesse. secundo autem loco, paucorum potentiam: nam optimorum gubernatio multum ab hac specie distat. maximè verò mediocrem esse popularem statum. Fuit & prius quidam, qui isto modo tradidit, non tamen in idem aspiciens nobiscum. ille enim existimabat specierum omnium, quæ rectè sanè essent, velut paucorum potentiæ & aliarum, deterrimam esse popularem: improbarum verò optimam. Nos autem eas quæ transgrediuntur, aberrare omnes dicimus. nec paucorum potentia, quòd melior sit altera quàm altera rectè dicitur, sed quòd minus improba. verùm de his nunc disceptare omittamus. Est à nobis primo distinguendum, quot sint differentiæ rerumpublicarum, siquidem plures sunt species popularis gubernationis ac paucorum. Deinde quæ communissima & optabilissima sit post optimã rempublicã, & si qua contingit alia ad optimatium naturam declinans rectè constituta, & quam plurimis congruens ciuitatibus, quænam ista sit. deinde aliarum, quæ à quibus expetenda. Forsan enim quibusdam necessaria est popularis gubernatio magis quàm paucorum potentia: quibusdam

Universidad de Deusto
Biblioteca

verò hæc magis quàm illa. Deinde quemadmodum dispositum esse conueniat illum, qui velit has gubernationes recipere. dico autem popularem secundum singulas species ac rursus paucorũ potẽtiam. Tandem verò omnium istarum cùm facta fuerit breuiter mentio, conandum erit referre quænam labes, & quæ conseruationes sint rerumpublicarum & communiter omnium, & particulariter vniuscuiusque, & per quas causas illas maximè euenire contingat.

CAPVT III.

VT igitur sint plures rerumpublicarum species, illa est causa, quòd cuiusque ciuitatis partes sunt plures. Videmus enim primo, ex domibus constare ciuitatem: deinde rursus ex hac multitudine alios esse diuites, alios pauperes, alios medios: diuitũmque & pauperum, partem esse bellicam, partem imbellem: & rursus ex plebe partem agrorum culturæ deditam videmus, partem mercaturæ, partem opificiis & sordidis ministeriis. Nobilitatis quoque differentiæ sunt secundum opulentiam, & magnitudinem census. sunt enim aliqui equites: quod munus nemo faciliter supportare potest, nisi sit diues. Itaque antiquis temporibus quæcunque ciuitates equestri potentia excellebant, in his paucorum potentia gubernabat: equitatu autem bella contra finitimos exercebant: ceu Eretrienses, & Chalcidenses, & Magnesii, qui sunt super Mæandro, & aliæ plures Asiaticorum ciuitatum. Præterea sunt aliæ quàm iuxta diuitias nobilium differentiæ. quosdam enim genus, quosdam virtus extollit, & si quid aliud tale ciuitatis partem esse oporteat, dictum est, vbi de optimatibus tractauimus. ibi nanq. distinximus, ex quot partibus necessariis omnis constat ciuitas. & hæ quidem partes, quandoq. concurrũt omnes ad rempublicam gubernãdam, quandoq. plures. Patet igitur, quòd necesse est plures respublicas esse inter se differentes specie. nam & hæ partes earum inter se specie differunt. Respublica enim est institutio gubernatorum. hanc verò distribuunt omnes, vel secundum potentiam eorum qui participes sunt, vel secũdum aliquam æquitatem communem. dico autem, veluti tenuiorum, & opulentiorum, vel communem aliquam amborum. Necessarium est ergo respublicas tot esse, quot sunt institutiones circa earum supereminentias, & secũdum differentiam partium. Maximè verò duæ videtur esse: quemadmodũ de ventis

μᾶλλον ἐκείνης. μετὰ δὲ ταῦτα, τίνα τρόπον δεῖ καθιστάναι τὸν βουλόμενον ταύτας τὰς πολιτείας· λέγω δὲ δημοκρατίας τε καθ' ἕκαστον εἶδος, καὶ πάλιν ὀλιγαρχίας. τέλος δὲ, πάντων τούτων, ὅταν ποιησώμεθα συντόμως τὴν ἐνδεχομένην μνείαν, πειρατέον ἐπελθεῖν, τίνες φθοραὶ, καὶ [τίνες] σωτηρίαι τῶν πολιτειῶν, καὶ κοινῇ καὶ χωρὶς ἑκάστης, καὶ διὰ τίνας αἰτίας ταῦτα γίνεσθαι πέφυκε.

Κεφάλαιον γ.

ΤΟῦ μὲν οὖν εἶναι πλείους πολιτείας αἴτιον, ὅτι πάσης ἐστὶ μέρη πλείω πόλεως τὸν ἀριθμόν. πρῶτον μὲν γὰρ ἐξ οἰκιῶν συγκειμένας πάσας ὁρῶμεν τὰς πόλεις· ἔπειτα πάλιν τούτου τοῦ πλήθους, τοὺς μὲν εὐπόρους ἀναγκαῖον εἶναι, τοὺς δ' ἀπόρους, τοὺς δὲ μέσους. καὶ τῶν εὐπόρων δὲ καὶ τῶν ἀπόρων, τὸ μὲν ὁπλιτικὸν, τὸ δὲ ἄοπλον. καὶ τὸν μὲν γεωργικὸν δῆμον ὁρῶμεν ὄντα, τὸν δ' ἀγοραῖον, τὸν δὲ βάναυσον. καὶ τῶν γνωρίμων εἰσὶ διαφοραὶ καὶ κατὰ τὸν πλοῦτον, καὶ τὰ μεγέθη τῆς οὐσίας, οἷον ἱπποτροφίας· τοῦτο γὰρ οὐ ῥᾴδιον μὴ πλουτοῦντας ποιεῖν. διόπερ ἐπὶ τῶν ἀρχαίων χρόνων ὅσαις πόλεσιν ἐν τοῖς ἵπποις ἡ δύναμις ἦν, ὀλιγαρχίαι παρὰ τούτοις ἦσαν. ἐχρῶντο δὲ πρὸς τοὺς πολέμους ἵπποις πρὸς τοὺς ἀστυγείτονας, οἷον Ἐρετριεῖς, καὶ Χαλκιδεῖς, καὶ Μάγνητες οἱ ἐπὶ Μαιάνδρῳ, καὶ τῶν ἄλλων πολλοὶ περὶ τὴν Ἀσίαν. ἔτι πρὸς ταῖς κατὰ πλοῦτον διαφοραῖς, ἐστὶν ἡ μὲν κατὰ γένος, ἡ δὲ κατ' ἀρετὴν, κἂν εἴ τι δὴ τοιοῦτον ἕτερον εἴρηται πόλεως εἶναι μέρος ἐν τοῖς περὶ τὴν ἀριστοκρατίαν. ἐκεῖ γὰρ διειλόμεθα ἐκ πόσων μερῶν ἀναγκαίων ἐστὶ πᾶσα πόλις. τούτων γὰρ τῶν μερῶν, ὁτὲ μὲν πάντα μετέχει τῆς πολιτείας, ὁτὲ δὲ ἐλάττω, ὁτὲ δὲ πλείω. φανερὸν τοίνυν ὅτι πλείους ἀναγκαῖον εἶναι πολιτείας εἴδει διαφερούσας ἀλλήλων· καὶ γὰρ ταῦτ' εἴδει διαφέρει τὰ μέρη σφῶν αὐτῶν. πολιτεία μὲν γὰρ, ἡ τῶν ἀρχῶν τάξις ἐστί. ταύτην δὲ διανέμονται πάντες, ἢ κατὰ τὴν δύναμιν τῶν μετεχόντων, ἢ κατά τιν' αὐτῶν ἰσότητα κοινήν· λέγω δ' οἷον τῶν ἀπόρων, ἢ τῶν εὐπόρων, ἢ κοινήν τιν' ἀμφοῖν. ἀναγκαῖον ἄρα πολιτείας εἶναι τοσαύτας, ὅσαι περ τάξεις κατὰ τὰς ὑπεροχάς εἰσι, καὶ κατὰ τὰς διαφορὰς τῶν μορίων. μάλιστα δὲ δοκοῦσιν εἶναι δύο· καθάπερ ἐπὶ τῶν πνευμάτων λέγεται

τὰ μὲν βόρεια, τὰ δὲ νότια, τὰ δ' ἄλλα, τούτων παρεκβάσεις· οὕτω καὶ τῶν πολιτειῶν, δύο, δῆμος, καὶ ὀλιγαρχία. τὴν γὰρ ἀριστοκρατίαν τῆς ὀλιγαρχίας εἶδος τιθέασιν, ὡς οὖσαν ὀλιγαρχίαν τινά· καὶ τὴν καλουμένην πολιτείαν, δημοκρατίαν· ὥσπερ ἐν τοῖς πνεύμασι, τὸν μὲν ζέφυρον, τοῦ βορέου, τὸν δὲ εὖρον, τοῦ νότου. ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἁρμονίας, ὥς φασί τινες. καὶ γὰρ ἐκεῖ τίθενται εἴδη δύο, τὴν δωριστὶ, καὶ τὴν φρυγιστί· τὰ δὲ ἄλλα συντάγματα, τὰ μὲν, δώρια· τὰ δὲ, φρύγια καλοῦσι. μάλιστα μὲν οὖν εἰώθασιν οὕτως ὑπολαμβάνειν περὶ τῶν πολιτειῶν· ἀληθέστερον δὲ καὶ βέλτιον ὡς ἡμεῖς διείλομεν, δυοῖν ἢ μιᾶς οὔσης τῆς καλῶς συνεστηκυίας, τὰς ἄλλας εἶναι παρεκβάσεις· τὰς μὲν, τῆς εὖ κεκραμένης ἁρμονίας· τὰς δὲ, τῆς ἀρίστης πολιτείας· ὀλιγαρχικὰς μὲν, τὰς συντονωτέρας καὶ δεσποτικωτέρας· τὰς δ' ἀνειμένας καὶ μαλακὰς, δημοτικάς.

Κεφάλαιον δ.

ΟΥ δεῖ δὲ τιθέναι δημοκρατίαν, καθάπερ εἰώθασί τινες νῦν, ἁπλῶς οὕτως, ὅπου κύριον τὸ πλῆθος· καὶ γὰρ ἐν ταῖς ὀλιγαρχίαις καὶ πανταχοῦ, τὸ πλέον μέρος κύριον· οὐδ' ὀλιγαρχίαν, ὅπου κύριοι ὀλίγοι τῆς πολιτείας. εἰ γὰρ εἶεν οἱ πάντες χίλιοι καὶ τριακόσιοι, καὶ τούτων οἱ χίλιοι πλούσιοι, καὶ μὴ μεταδιδοῖεν ἀρχῆς τοῖς τριακοσίοις καὶ πένησιν, ἐλευθέροις οὖσι, καὶ τἆλλα ὁμοίοις, οὐδεὶς ἂν φαίη δημοκρατεῖσθαι τούτους. ὁμοίως δὲ καὶ εἰ πένητες μὲν ὀλίγοι εἶεν, κρείττους δὲ τῶν εὐπόρων, πλειόνων ὄντων, οὐδεὶς ἂν ὀλιγαρχίαν προσαγορεύσειεν· οὐδὲ τὴν τοιαύτην, εἰ τοῖς ἄλλοις οὖσι πλουσίοις μὴ μετείη τῶν τιμῶν. μᾶλλον τοίνυν λεκτέον, ὅτι δῆμος μέν ἐστιν, ὅταν οἱ ἐλεύθεροι κύριοι ὦσιν· ὀλιγαρχία δ', ὅταν οἱ πλούσιοι. ἀλλὰ συμβαίνει, τοὺς μὲν πολλοὺς εἶναι, τοὺς δ' ὀλίγους. ἐλεύθεροι μὲν γὰρ πολλοί· πλούσιοι δ' ὀλίγοι. καὶ γὰρ ἂν εἰ κατὰ μέγεθος διενέμοντο τὰς ἀρχὰς, ὥσπερ ἐν Αἰθιοπίᾳ φασί τινες, ἢ κατὰ κάλλος, ὀλιγαρχία ἦν· ὀλίγον γὰρ τὸ πλῆθος, καὶ τὸ τῶν καλῶν, καὶ τὸ τῶν μεγάλων. οὐ μὴν ἀλλ' οὐδὲ τούτοις μόνοις ἱκανῶς ἔχει διωρίσθαι τὰς πολιτείας ταύτας· ἀλλ' ἐπεὶ πλείονα μόρια καὶ τοῦ δήμου, καὶ τῆς ὀλιγαρχίας εἰσὶν, ἔτι διαληπτέον, ὡς οὔτ' ἂν οἱ ἐλεύθεροι ὀλίγοι ὄντες, πλειόνων καὶ μὴ ἐλευθέρων ἄρχωσι, δῆ-

dici solet, alios quidem esse boreales, alios australes, cæteros autem ventos horum esse excessus: sic etiam respublicas duas esse popularem scilicet, & paucorum potentiam. nam optimates speciem esse paucorum potentium posuere, & eam quæ vocatur respublica, dicebãt esse popularem: quemadmodum de ventis Zephyrum quidem borealem. Eurum autem australem. Eodémque modo in harmoniis, vt quidã tradunt. nam & in illis posuerunt duas species, vnam Doricam, alteram Phrygiam, cæteras verò omnes, vel ad Doricã, vel ad Phrygiam referri. maximè quidem igitur consueuerunt, de rebuspublicis sic existimare. Sed certè verius ac melius est, vt nos diuisimus, duarum vel vnius rectè constitutæ cæteras esse transgressiones, & aliquas esse probè temperatæ harmoniæ, alias verò ipsius optimę reipublicę, ad paucorum verò potentiam inclinant quæ duriores sunt ac magis violentæ: quæ verò remissæ & molles, ad popularem statum.

CAPVT IIII.

NEque verò popularis ita simpliciter ponenda, vt quidam ponunt, vbi multitudo dominatur. nam & in paucorum potentiis, & vbique maior pars præualet. Etenim si essent vniuersi mille treceenti, & horum mille forent opulenti, neque partem gubernationis darent trecentis illis pauperibus ingenuis, ac in cæteris paribus, nemo certè diceret hanc esse popularem. Eodémque modo, si pauci quidem inopes in ciuitate plus possent quàm multi & opulenti, nec honores illis impartirentur, nemo vtique diceret hanc esse speciem, quæ appellatur paucorum potentium. Potius itaque dicendum fuerit popularẽ quidẽ esse, cùm penes ingenuos homines est gubernatio: paucorum autem potentium, cùm penes opulentos. sed contingit vt alteri multi sint, alteri pauci. plerique enim ingenui sunt, rari verò diuites. Etenim si magistratus, honorésque publici secundum magnitudinem distribuerentur, vt in Æthiopia quidam tradunt fieri, vel secundum pulchritudinem, paucorum esset gubernatio, cùm parua sit multitudo magnorum & formosorum. Veruntamen non isto modo sat est respublicas istas determinasse. sed cùm plures sint partes & multitudinis & paucorum potentium, adhuc resumendum est, vt neque ingenui pauci existentes pluribus, neq. multitudo ingenuis dominetur.

ἐλεύθεροι, ὀλίγοι ὄντες, πλειόνων καὶ μὴ ἐλευθέρων ἄρχωσι, δῆ-

Universidad de Deusto
Biblioteca

vt in Apollonia, quæ est in Ionio & Thera. in vtraque enim istarum vrbium honores dignitatésque erant illorum, qui nobilitate præstabant, & qui primi in eas colonias venerant, qui erant pauci: non autem diuitum superaret populus. vt in Colophone antiquitus: ibi enim possidebat magna patrimonia multitudo: antequam bellum gererent aduersus Indos. Sed est multitudinis quædam gubernatio, quando ingenui homines & inopes multi existentes gubernat rempublicam. Paucorum verò potentium, quando opulenti & nobiliores pauci existentes gubernant. Quòd igitur plures sint rerumpublicarum species, & quibus de causis, patet. Quamobrem verò plures sint, quàm illæ quas dictum erat, & quænam istæ sint, & propter quid, deinceps dicemus, principio vnde prius assumpto. fatemur enim non vnam partem, sed plures omnem habere ciuitatem. Vt igitur si animalis vellemus species capere, primo segregaremus id quod necessarium sit animal omne habere, ceu quædam sensoriorum, & quòd cibum conficiat atque receptet, puta os & ventrem, & præterea illas, quibus mouentur partes. Si itaque tot species solum, harum verò differentiæ forent, dico autem ceu oris genera plura, & ventris, & sensoriorum, & præterea earum quibus mouentur, partium, harum coniugationis numerus necessariò efficiet plura genera animalium. non enim fieri potest, vt idem animal habeat plures differentias oris, sic etiam neque aurium. itaque, quando susceperit fuerint omnes combinationes istorum, facient species animalis: & tot quidem species, quot coniugationes sunt partium necessariarum. Eodè modo de dictis rebuspublicis. ciuitates enim non ex vna, sed ex multis partibus constant, vt sæpius dictum est. Vna quædam pars est circa alimenta multitudo, quos agricolas dicimus. Altera verò pars ea quæ vocatur mechanica, hæc autem versatur circa ministeria, ceu artes, sine quibus ciuitas habitari non potest. harum verò artium aliæ sunt necessariæ, aliæ ad delicias pertinent, & ad vitæ cultum. Tertia pars est forensis multitudo, quæ circa emendum vendendúmque, & circa mercatoram & numularium versatur. Quarta pars, mercenarij. Quinta, propulsatores belli, quæ quidem pars non minus necessaria est ciuitati quàm aliqua superior, aduersus inuadentes, si velint tueri libertatem.

A μορ ἔστ, ὡς ἡ Ἀπολλωνία τῆς ἐν τῇ Ἰωνίᾳ, καὶ ἡ Θήρας· ἐν τούτοις γὰρ οἱ ἀρχαῖοι τῆς πόλεως καὶ τιμῶν τυγχάνοντες ἦσαν οἱ διαφέροντες καὶ ἐν δόξῃ ὄντες, καὶ ἐξ ἀρχῆς ἐποικήσαντες τὰς ἀποικίας, ὀλίγοι ὄντες πολλὰ οὖσι, καὶ οὐ πολύοικοι, διὰ τὸ κατ' πλῆθος εὐδοκιμεῖν, δηλονότι ἐξ ἀρχῆς Κολοφῶνι τὰ πολλὰ διὰ τὸ ἐκείνους τὸν κόσμον εὐπορεῖν οἱ πλείους. πολὺ γὰρ ἐστὶ τὸ πλῆθος τῶν ἀφ' Λυδῶν· ἀλλ' ἔστι δημοκρατία ὅταν οἱ ἀλλόφυλοι καὶ ἄποροι, πλείονες ὄντες, κύριοι τῶν ἀρχῶν ὦσιν· ὀλιγαρχία δ' ἔστιν οἱ πλούσιοι καὶ ἀγενεῖς, ὀλίγοι ὄντες. Ὅτι μὲν οὖν πολιτειῶν πλείους, καὶ δι' ἃς αἰτίας, εἴρηται. διότι πλείους τῶν εἰρημένων, καὶ τίνες, καὶ διὰ τί, λέγωμεν, ἀρξάμενοι πρῶτον λαβόντες ἃ φαμὲν ἅπαντας ἔχειν πόλεις. φαμὲν γὰρ οὐχ ἓν μέρος, ἀλλὰ πλείω μέρη πόλεως· ὥστε καθάπερ εἰ τῶν ζώων σκοποῦμεν ἃ δεῖ τοῦ ζῴου ὑπάρχειν εἴδη, πρῶτον ἀφορίσαιμεν ἃ δεῖ πάντων ὑπάρχειν τῶν ζῴων· εἰ δὲ τὰ τοῦ ζῴου μόνον, τούτων δ' ἄλλα διαφέρουσαι λέγω δ', ὥς τε σώματος πτῶσιν καὶ χρόας, καὶ τῶν αἰσθητηρίων· ἔτι δὲ τῶν κινητικῶν μορίων, ὁ τίνας συζεύξας τὰς τούτων ἀρχιτεκτονήσει πόλεις πολλὰ τῶν ζῴων· ὡς γὰρ οἷόν τε τοῦτο ζῷον ἔχειν πλείους σώματος διαφορὰς, ἀμείνους δ' οὐκ ἔστιν. οὕτω δ' ὅταν ληφθῶσι τούτων πάντων αἱ ἐκ τῶν ἐξῆς συμβιβασμοί, ποιήσουσιν εἴδη ζῴων καὶ τοσαῦτ' εἴδη τῶν ζῴων, ὅσαπερ αἱ συζεύξεις τῶν ἀναγκαίων μορίων εἶεν· τὸν αὐτὸν δ' τῶν πολιτειῶν. καὶ γὰρ αἱ πόλεις οὐκ ἐξ ἑνὸς, ἀλλ' ἐκ πολλῶν σύγκειται μορίων, ὧν οἱ μὲν ἀεὶ ἔργον ποιοῦσιν· οὗ δὲ τὸ τοιοῦτο γένος ἐστὶ γεωργοί. δεύτερον δ', τὸ κατὰ τέχνας, ὧν ἄνευ πόλις ἀδύνατον οἰκεῖσθαι· τούτων δὲ τῶν τεχνῶν τὰς μὲν, ἃς ἀναγκαῖον ὑπάρχειν εἰς τὸν βίον· τὰς δ', εἰς τρυφὴν, καὶ τὸ καλῶς ζῆν. τρίτον δ', ἀγοραῖον λέγω δ' ἀγορᾶς, τὸ τῶν ὠνίων καὶ πωλήσεων ἕνεκα· τέταρτον δ', τὸ θητικόν· πέμπτον δ' τὸ τῶν πολεμικῶν γένος οὐδὲν ἀναγκαῖον ὂν τῶν μορίων τῶν τῆς πόλεως ἧττον, εἰ μέλλοντες μὴ δουλεύειν πόλει,

πόλει. καὶ γὰρ ἐν τῷ ἀδύνατον ἦν, πόλιν ἀξιοῦν εἶναι κακῶν τῶν φύσει δούλων· ἐν τῷ πόλει γὰρ ἡ πόλις, τὸ δ' δοῦλον ἐν αὐτῇ μέρος. διόπερ ἐν τῇ πολιτείᾳ καὶ ἡμῖν εἴρηται, φαμὲν γὰρ ὁ Σωκράτης ἐκ τεσσάρων τῶν ἀναγκαιοτάτων πόλιν συγκεῖσθαι λέγων ἡ τοιοῦτος, γεωργὸν, καὶ οἰκοδόμον· πόλιν δὲ παρεδίδοσαν, ὡς ἐν ἀναγκαίοις τούτοις, ὑφάντην, καὶ καπηλικὸν, καὶ τοῦ τοιούτου τινὰ ἄλλον· ἔπειτα βοσκήματος· ἔπι δ', ἱππικὸν καὶ κάπηλον καὶ τούτοις ἐπέθηκεν πλεονεξίας τῶν φυλάκων πόλεως· ὡς τῷ ἀναγκαῖον γὰρ χρῆναι τοῦτον πόλει συνοικεῖν, ἀλλ' οὐ τῶν κακῶν μάλιστ' ἔστι τὸ διεφθάνειν καὶ γεωργῶν· τὸ δ' φυτοπολικεῖν οὐ φαύλως ἔχειν δοκεῖ δεῖν μέρος, ἀφεῖ τὰς χώρας ἀποξήρανε καὶ τὸ τῷ πλησίον ἀποδιδόντες, εἰς πόλεμον κατεστῶσι. διὰ μὲν οὖν τοῦτ' ἔφασαν καὶ τοῦ δικαστοῦ κατεστῶτα καὶ τὸ δίκαιον. εἴδη οὖν καὶ ψυχῇ τὸ τοῦ ζῴου μόριον μάλιστ', ἡ σῶμα, καὶ πόλεων τὰ τοιαῦτα μάλιστ' ἔστιν, τῷ εἰς τὸ ἀναγκαῖον χρῆσθαι σωστικῶτατα, τὸ στρατιωτικὸν καὶ τὸ μετέχον διανοίας διαφέρουσι· φαμὲν δ' τοῦτο, τὸ βουλευόμενον. ἐπεὶ δὲ ἐστὶν πολιτικὸς ἔργον, ταῦτ' εἶναι κεχωρισμένα ἐν ἅπασι πόλει, εἰ μὲν τοῦ ἀναγκαῖον εὐδαίμονα τὸν λόγον· καὶ γὰρ ἐπιλείπουσι καὶ γεωργοῖς συμβαίνει αὐτοῖς ἀνοικτοῖς πολλάκις, οὐ τέλεσθαι δ' ταῦτα δεῖται δεῖται μόρια τῆς πόλεως, φανερὸν ὅτι τὸ γε ἐπιστήμας ἀπεκρίνοντο μόριον τῆς πόλεως. ἓν μὲν εἶδος τὸ μόριον τῆς οἰκίας λέγω τὸ τῶν τεχνῶν ἀναγκαῖον· τὸ δ' δημιουργικὸν, καὶ τὸ τῶν τοῦ ἀναγκαῖον λειτουργεῖν· εἰ δὲ εἶδος τῶν ἀδύνατον εἶναι πόλει. ἀναγκαῖον οὖν εἶναι πάντας τοὺς δυναμένους αὐτὸν χρῆσθαι, καὶ λειτουργοῦντας, ἢ σωματικῶς, ἢ τῇ μόρῳ, τῷ τοῦτ' ἔστιν τῶν λειτουργεῖν. λοιπὸν δ' τῶν τοιούτων διαφέρειν τῷ τιμῶν, τὸ βουλεύμενον καὶ κρίνον εἶναι τῷ δικαίῳ τῶν ἀμφισβητούντων. εἴδη οὖν ταῦτα, δι' ἃ δοκεῖ πόλεις εἶναι καὶ κοινὸν τὸ δικαίου, ἀναγκαῖον καὶ μετέχοντας εἶναι τῶν τιμῶν· τὸν δὲ πολεμικὸν τῶν ἀδύνατον εἶναι τῶν τοιούτων· τὰς δὲ οὐ δῆλος διωρισμένος τῶν ἀνωτέρω ὑπάρχει εἰδῶν δεῖ δοκεῖ πόλει, εἰ δὲ καὶ

A impossibile est enim vt quæ ciuitas vocari mereatur, sit natura serua. per se enim sufficiens ciuitas. seruus autem non per se sufficiens est. Quapropter in libris de Republica etenatè quidem hoc, sed non sufficienter dictum est à Socrate. inquit enim ex quatuor maximè necessariis ciuitatem constare. hos autem esse textorem, agricolam, coriarium, ædificatorem. rursus verò adiunxit, quasi illa non sufficiant, fabrum ferrarium & pistorem: & insuper negotiatorum, & numularium, & hæc omnia complent primam ciuitatem. Quasi verò ciuitas omnia necessariorum gratia sit constituta, ac non magis gratia honesti, & quasi æquè indigeat coriariis, & agricolis. propulsatores autem belli non primam facit partem, antequam aucta regione, ac vicinis coactis, ad bellum deueniatur. Atqui & in quatuor illis, & in quotcunque communicantibus, necessarium est esse aliquem, qui ius dicat, ac decernat. Siquidem ergo animam quis ponat animalis esse partem magis quàm corpus, & ciuitatum magis talia ponendum esse partes, quàm ea quæ pertinent ad necessarium vsum, propulsatores belli videlicet, ac iustitiæ iudiciariæ exhibitores, ac præterea consultores, quod est eiusdem prudentiæ opus. & hoc siue separatim existat quibusdam, siue eisdem, nihil refert ad hunc sermonem. nam & in armis esse, & agros colere, sæpe contingit eisdem. Quare si hæc & illa ponenda sunt ciuitatis esse partes, manifestum est quòd & propulsatores belli pars necessaria sunt ciuitatis. Septima pars est eorum, qui magna patrimonia habentes, reipublicæ onera sustinent, quos opulentos vocamus. Octaua, eorum qui publicam operam exhibent, & qui in magistratibus gerendis occupati existùt. ciuitas enim absque magistratibus esse non potest. necessarium igitur est, esse quosdam qui magistratus gerere valeant, & hoc munus sustinere vel perpetuò, vel ad tempus. Reliqua verò sunt illa, de quibus paulo antè determinauimus, in consulendo, & ius litigantibus in ciuitate reddendo versari. Si igitur hæc ciuitatibus adesse oportet, rectéque fieri & iustè, necessarium est esse aliquos, qui virtutem habeant rerum ciuilium. Cæteras ergo potentias eisdem adesse posse videntur pluribus, ceu eosdem esse propulsatores belli, & agricolas, & artifices, & præterea consultores & iudicantes,

Arrogant quoque sibi virtutem cuncti, & multifariam se idoneos existimant ad gubernandum, verùm pauperes ac diuites eosdem esse impossibile est. quapropter hæ partes præcipuè videntur esse ciuitatis, inopes scilicet & opulenti. Et præterea ex eo, quod vt plurimum alij pauci sunt, alij multi, maximè omnium contraria inter se partes istæ apparent. itaque & respublicas secundum earum præualentiam constituerunt: ac duæ videntur, scilicet popularis & paucorum potentia. Sed quòd sint plures, & ob quas causas dictum est prius. Quòd verò & popularis ipsius species sint plures, & paucorum potentiam, ostendemus. Patet autem hoc ex his quæ dicta sunt. nam & in plebe, & in nobilitate plura sunt genera. Plebis quidem vna species, agricolæ, alia artifices, alia negotiatores, qui emendis vendendisque rebus intendunt, alia circa rem maritimam, & horum alij bellatores, alij mercatores, alij nautæ, alij piscatores. multis enim locis horum omnium turba ingens, vt piscatores Tarenti & Byzantij, naualis multitudo Athenis, mercatores in Aegina & Chio, portitores in Tenedo. insuper manuales & paruas facultates habentes, qui ociosi esse non possunt. Præterea qui non ex vtroque parente ciue sunt orti, liberi tamen homines, & si qua huiusmodi plebeiorum hominum species altera. Nobilitas verò, diuitiæ, genus, virtus, disciplina, & his similia, quæ dicuntur secundum eandem differentiam. Popularis igitur prima species dicitur maximè secundum æqualitatem. vult enim lex huius popularis pares esse diuites & pauperes, nec alteros plus posse, alteros minus. sed vtrosque esse æquales. siquidem maximè liber est in populi statu, vt putant quidam, & æqualitas certè esse maximè pariter omnibus reipublicæ participantibus, cùm verò populus sit multitudo, & id obtineat quod pluribus videatur, necesse est vt hæc sit popularis gubernatio. vna igitur species popularis est hæc. Alia verò species, vt magistratus honorésque in republica secundum censum patrimoniorum, & eum quidem paruum, tribuantur, ita vt qui tanta possidet, habilis sit ad honores reipublicæ suscipiendos: qui verò non possidet, sit inhabilis. Alia species popularis est, vt omnibus omnino ciuibus habilitas sit, modò non sint aliqua ex causa obnoxij: dominetur autem lex.

A ἀντιποιοῦνται δὲ καὶ τῆς ἀρετῆς πάντες, καὶ τὰς πλείστας [ἀρχὰς] ἄρχειν οἴονται δυνατοὶ εἶναι· ἀλλὰ πένεσθαι καὶ πλουτεῖν τοὺς αὐτοὺς ἀδύνατον. διὸ ταῦτα μέρη μάλιστα εἶναι δοκεῖ πόλεως, οἱ εὔποροι καὶ οἱ ἄποροι. ἔτι δὲ διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ τοὺς μὲν ὀλίγους εἶναι, τοὺς δὲ πολλούς, ταῦτα ἐναντία μέρη φαίνεται τῶν τῆς πόλεως μορίων. ὥστε καὶ τὰς πολιτείας κατὰ τὰς ὑπεροχὰς τούτων καθιστᾶσι, καὶ δύο πολιτεῖαι

B δοκοῦσιν εἶναι, δημοκρατία καὶ ὀλιγαρχία. ὅτι μὲν οὖν εἰσὶ πολιτεῖαι πλείους, καὶ διὰ τίνας αἰτίας, εἴρηται πρότερον. ὅτι δὲ καὶ δημοκρατίας εἴδη πλείω καὶ ὀλιγαρχίας, λέγωμεν. φανερὸν δὲ τοῦτο καὶ ἐκ τῶν εἰρημένων. εἴδη γὰρ πλείω τοῦ τε δήμου καὶ τῶν λεγομένων γνωρίμων ἐστίν, οἷον δήμου μὲν εἴδη, ἓν μὲν οἱ γεωργοί, ἕτερον δὲ τὸ περὶ

C τὰς τέχνας, ἄλλο δὲ τὸ ἀγοραῖον, τὸ περὶ ὠνὴν καὶ πρᾶσιν διατρῖβον, ἄλλο δὲ τὸ περὶ τὴν θάλατταν, καὶ τούτου τὸ μὲν πολεμικὸν τὸ δὲ χρηματιστικὸν τὸ δὲ πορθμευτικὸν τὸ δ' ἁλιευτικόν· πολλαχοῦ γὰρ ἕκαστα τούτων πολύοχλα, οἷον ἁλιεῖς μὲν ἐν Τάραντι καὶ Βυζαντίῳ, τριηρικὸν δὲ Ἀθήνησιν, ἐμπορικὸν δὲ ἐν Αἰγίνῃ καὶ Χίῳ, πορθμευτικὸν δ' ἐν Τενέδῳ·

D πρὸς δὲ τούτοις, τὸ χερνητικὸν καὶ τὸ μικρὰν ἔχον οὐσίαν, ὥστε μὴ δύνασθαι σχολάζειν, ἔτι τὸ μὴ ἐξ ἀμφοτέρων πολιτῶν ἐλεύθερον, κἂν εἴ τι τοιοῦτον ἕτερον πλήθους εἶδος· τῶν δὲ γνωρίμων, πλοῦτος, εὐγένεια, ἀρετή, παιδεία, καὶ τὰ τούτοις [λεγόμενα] λεγόμενα κατὰ τὴν αὐτὴν διαφοράν. δημοκρατία μὲν οὖν ἐστὶ πρώτη μὲν ἡ λεγομένη μάλιστα κατὰ τὸ ἴσον. ἴσον γάρ φησιν ὁ νόμος ὁ τῆς

E τοιαύτης δημοκρατίας, τὸ μηδὲν μᾶλλον ὑπερέχειν τοὺς ἀπόρους ἢ τοὺς εὐπόρους, μηδὲ κυρίους εἶναι ὁποτερουσοῦν, ἀλλ' ὁμοίους ἀμφοτέρους. εἴπερ γὰρ ἐλευθερία μάλιστ' ἐστὶν ἐν δημοκρατίᾳ, καθάπερ ὑπολαμβάνουσί τινες, καὶ ἰσότης, οὕτως ἂν εἴη μάλιστα, κοινωνούντων ἁπάντων μάλιστα τῆς πολιτείας ὁμοίως. ἐπεὶ δὲ πλεῖον ὁ δῆμος, κύριον δὲ τὸ δόξαν τοῖς πλείοσιν, ἀνάγκη δημοκρατίαν εἶναι ταύτην. ἓν μὲν οὖν εἶδος

F δημοκρατίας τοῦτο. ἄλλο δὲ τὸ τὰς ἀρχὰς ἀπὸ τιμημάτων εἶναι· βραχέων δὲ τούτων ὄντων· δεῖ δὲ τῷ κτωμένῳ ἐξουσίαν εἶναι μετέχειν, καὶ τὸν ἀποβάλλοντα μὴ μετέχειν. ἕτερον εἶδος

δημοκρατίας, τὸ μετέχειν ἅπαντας τοὺς πολίτας, ὅσοι ἀνυπεύθυνοι, ἄρχειν δὲ τὸν νόμον.

A ἕτερον δὲ εἶδος δημοκρατίας, τὸ πᾶσι μετεῖναι τῶν ἀρχῶν, ἐὰν μόνον ᾖ πολίτης, ἄρχειν δὲ τὸν νόμον. ἕτερον δ' εἶδος δημοκρατίας, τἆλλα μὲν εἶναι ταὐτά, κύριον δ' εἶναι τὸ πλῆθος, καὶ μὴ τὸν νόμον· τοῦτο δὲ γίνεται, ὅταν τὰ ψηφίσματα κύρια ᾖ, ἀλλὰ μὴ ὁ νόμος. συμβαίνει δὲ τοῦτο διὰ τοὺς δημαγωγούς. ἐν μὲν γὰρ ταῖς κατὰ νόμον δημοκρατουμέναις, οὐ γίνεται δημαγωγός, ἀλλ' οἱ βέλτιστοι τῶν

B πολιτῶν εἰσιν ἐν προεδρίᾳ· ὅπου δ' οἱ νόμοι μή εἰσι κύριοι, ἐνταῦθα γίνονται δημαγωγοί. μόναρχος γὰρ ὁ δῆμος γίνεται, σύνθετος εἷς ἐκ πολλῶν· οἱ γὰρ πολλοὶ κύριοί εἰσιν, οὐχ ὡς ἕκαστος, ἀλλὰ πάντες. Ὅμηρος δὲ ποίαν λέγει οὐκ ἀγαθὸν εἶναι πολυκοιρανίην, πότερον ταύτην, ἢ ὅταν πλείους ὦσιν οἱ ἄρχοντες ὡς ἕκαστος, ἄδηλον. ὁ δ' οὖν τοιοῦτος δῆμος, ἅτε

C μόναρχος ὤν, ζητεῖ μοναρχεῖν, διὰ τὸ μὴ ἄρχεσθαι ὑπὸ νόμου, καὶ γίνεται δεσποτικός, ὥστε οἱ κόλακες ἔντιμοι. καὶ ἔστιν ὁ τοιοῦτος δῆμος, ἀνάλογον τῶν μοναρχιῶν τῇ τυραννίδι, διὸ καὶ τὸ ἦθος τὸ αὐτό, καὶ ἄμφω δεσποτικὰ τῶν βελτιόνων, καὶ τὰ ψηφίσματα, ὥσπερ ἐκεῖ τὰ ἐπιτάγματα· καὶ ὁ δημαγωγός, καὶ ὁ κόλαξ, οἱ αὐτοὶ καὶ ἀνάλογον. καὶ μά-

D λιστα δ' ἑκάτεροι παρ' ἑκατέροις ἰσχύουσιν, οἱ μὲν κόλακες παρὰ τοῖς τυράννοις, οἱ δὲ δημαγωγοὶ παρὰ τοῖς δήμοις τοῖς τοιούτοις. αἴτιοι δέ εἰσι τοῦ εἶναι τὰ ψηφίσματα κύρια, ἀλλὰ μὴ τοὺς νόμους, οὗτοι, πάντα ἀνάγοντες εἰς τὸν δῆμον. συμβαίνει γὰρ αὐτοῖς γίνεσθαι μεγάλοις, διὰ τὸ τὸν μὲν δῆμον πάντων εἶναι κύριον, τῆς δὲ τοῦ δήμου δόξης, τούτους· πεί-

E θεται γὰρ τὸ πλῆθος τούτοις. ἔτι δ' οἱ ταῖς ἀρχαῖς ἐγκαλοῦντες, τὸν δῆμον φασὶ δεῖν κρίνειν· ὁ δὲ ἀσμένως δέχεται τὴν πρόκλησιν· ὥστε καταλύονται πᾶσαι αἱ ἀρχαί. εὐλόγως δὲ ἂν δόξειεν ἐπιτιμᾶν ὁ φάσκων τὴν τοιαύτην εἶναι δημοκρατίαν, οὐ πολιτείαν· ὅπου γὰρ μὴ νόμοι ἄρχουσιν, οὐκ ἔστι πολιτεία. δεῖ γὰρ τὸν μὲν νόμον ἄρχειν πάντων, τῶν δὲ καθ' ἕκαστα τὰς ἀρχὰς καὶ τὴν πολιτείαν

F κρίνειν. ὥστ' εἴπερ ἐστὶ δημοκρατία μία τῶν πολιτειῶν, φανερὸν ὡς ἡ τοιαύτη κατάστασις, ἐν ᾗ ψηφίσμασι πάντα διοικεῖται, οὐδὲ δημοκρατία κυρίως· οὐδὲν γὰρ ἐνδέχεται ψήφισμα εἶναι καθόλου. τὰ μὲν οὖν τῆς δημοκρατίας εἴδη διωρίσθω τὸν τρόπον τοῦτον.

A Alia species popularis est, vt omnes omnino habiles sint ad magistratus gerendos, modò sint ciues, & dominetur lex. Alia species eodem modo, nisi quòd non lex dominatur, sed multitudo. hoc autem fit, quando populi decreta præualent legibus. Accidit verò ob præpotentes quosdam, qui populum ducunt. nam in iis rebuspublicis in quibus dominatur lex, præpotens aliquis non sit, qui populum du-

B cat, sed optimi ciuium rempublicam gubernant. At vbi leges non dominantur, ibi ductores populi oriuntur. solus enim populus regit, compositus vnus ex pluribus. multitudo enim authoritatem dominandi habet, non vt singuli, sed vt omnes. Homerus autem cùm dicit non esse bonum vt plures regant, vtrum de hac dicit, vel de illa cùm plures gubernant, vt singuli, incertum est. Talis ergo populus, vt-

C pote absolutam potestatem habens dominari solus quærit, nec vlli legi subesse efficitúrque dominator. itaque assentatores eius in pretio habentur. Et est huiusmodi populus in gubernatione sua tyranno persimilis, iidem nempe mores, & vtrobique meliores deprimuntur, & decreta huius populi perinde sunt, vt tyranni præcepta. & ductores suasorésque huius populi

D sunt velut adulatores illi, qui circa tyrannos versantur, & vtrisque apud vtrosque potentia par, tam adulatoribus penes tyrannum, quàm ductoribus suasoribúsque populi apud ipsum populum. Hi autores sunt, vt decreta leges infringant, & ad volun atem populi cuncta referantur. contingit autem illis fieri potentes ex eo, quia populus dominatur omnium, ipsi autem voluntatem populi maximè ducunt, quo-

Universidad de Deusto Biblioteca

Quod si hoc impossibile est, necesse est, vt forma, & species aliquid præter cunctum sit. Si autem rursus hoc aliquis ponet, dubium est, de quibus hoc ponet, & de quibus non. Quod enim de omnibus non est possibile, patet: non enim ponemus aliquam esse domum, præter domos singulares. Et adhæc, vtrum vna erit omnium substantia, vtputa hominum. Sed absurdum est: non enim vnum essent omnia, quorum substantia vna, sed multa, atque diuersa, sed hoc etiam inconueniens est. Simul autem quomodo materia vnumquodque horum est, & est cunctum hæc ambo? Item, de principiis hoc etiam aliquis dubitabit: nam si specie sunt vnum, nihil erit numero vnum, nec ipsum vnum, & ipsum ens. Ipsumque scire quomodo erit, si non aliquod vnum in omnibus erit? At verò si numero vnũ, & vnumquodque principiorum vnum, & non, vt in sensibilibus, alia aliorum: vtputa huius syllabæ cùm specie sit eadem, etiam principia specie eadem sunt. Etenim hæc, numero alia sunt. Quòd si non ita, sed principia entium numero sunt vnum, non erit præter elementa aliquid aliud. Numero enim vnum dicere aut singulare, nihil differt. Ita enim singulare dicimus, quod vnum numero est: vniuersale verò, quòd in his. Quemadmodum si vocis elementa, eo quòd vnum numero est, determinata essent, necesse est tot omnes literas esse, quot elementa, cùm non essent duo aut plura eadem. Nihilo autem minor dubitatio & posterioribus, & prioribus prætermissa est, vtrum eadem corruptibilium & incorruptibilium principia sint, an diuersa. Si enim eadẽ sunt, quomodo hæc quidem incorruptibilia, hæc verò corruptibilia sunt, & propter quam causam? Quicunque igitur circa tempora Hesiodi fuerunt, & cuncti theologi, solum quod sibi persuaderent, curæ habuerunt, nos autem contempserunt. Cùm enim principia deos facerent, & ex diis fuisse dicerent, quæcunque non gustarunt nectar, & ambrosiam, mortalia dicunt fuisse. Manifestũ autem est, quòd sibi ipsis hæc nomina cognita dicentes, talésque afferentes causas, supra vires nostras dixerunt. Nã si voluptatis gratia ea attigerunt, nequaquam sunt ipsius esse causa nectar & ambrosia. Quòd si ipsius esse gratia, quomodo essent sempiterni, cùm alimento indigerent? Sed de iis, quæ fabulosè, & sophisticè dicuntur, non est dignum accuratè considerare. Ab illis verò, qui per demonstrationem dicunt,

A εἰ δὲ τοῦτο ἀδύνατον, ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον τὴν μορφὴν καὶ τὸ εἶδος. εἰ δ' αὖ τις τοῦτο θήσει, ἀπορία ἐπὶ τίνων τε θήσει τοῦτο καὶ ἐπὶ τίνων οὔ. ὅτι μὲν γὰρ οὐκ ἐπὶ πάντων ἐνδέχεται, φανερόν· οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν παρὰ τὰς τινὰς οἰκίας. πρὸς δὲ τούτοις πότερον ἡ οὐσία μία πάντων ἔσται, οἷον τῶν ἀνθρώπων; ἀλλ' ἄτοπον· ἓν γὰρ πάντα ὧν ἡ οὐσία μία. ἀλλὰ πολλὰ καὶ διάφορα; B ἀλλὰ καὶ τοῦτο ἄλογον. ἅμα δὲ καὶ πῶς γίγνεται ἡ ὕλη τούτων ἕκαστον, καὶ ἔστι τὸ σύνολον ἄμφω ταῦτα; ἔτι δὲ περὶ τῶν ἀρχῶν καὶ τόδε ἀπορήσειεν ἄν τις. εἰ μὲν γὰρ εἴδει εἰσὶν ἕν, οὐθὲν ἔσται ἀριθμῷ ἕν, οὐδ' αὐτὸ τὸ ἓν καὶ τὸ ὄν· καὶ τὸ ἐπίστασθαι πῶς ἔσται, εἰ μή τι ἔσται ἓν ἐπὶ πάντων; ἀλλὰ μὴν εἰ ἀριθμῷ ἕν, καὶ μία ἑκάστη τῶν ἀρχῶν, καὶ μὴ ὥσπερ ἐπὶ τῶν αἰσθητῶν C ἄλλαι ἄλλων, οἷον τῆσδε τῆς συλλαβῆς τῷ εἴδει τῆς αὐτῆς οὔσης καὶ αἱ ἀρχαὶ εἴδει αἱ αὐταί (καὶ γὰρ αὗται ἀριθμῷ ἕτεραι), εἰ δὲ μὴ οὕτως ἀλλ' αἱ τῶν ὄντων ἀρχαὶ ἀριθμῷ ἕν, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα οὐθὲν ἕτερον· τὸ γὰρ ἀριθμῷ ἓν ἢ τὸ καθ' ἕκαστον λέγειν διαφέρει οὐθέν· οὕτω γὰρ λέγομεν τὸ καθ' ἕκαστον, τὸ ἀριθμῷ ἕν, καθόλου δὲ τὸ ἐπὶ τούτων. ὥσπερ οὖν εἰ τὰ τῆς φωνῆς ἀριθμῷ ἦν στοιχεῖα ὡρισμένα, D ἀναγκαῖον ἦν τοσαῦτα εἶναι τὰ πάντα γράμματα ὅσαπερ τὰ στοιχεῖα, μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλειόνων. οὐθενὸς δ' ἐλάττων ἀπορία παραλέλειπται καὶ τοῖς νῦν καὶ τοῖς πρότερον, πότερον αἱ αὐταὶ τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων ἀρχαί εἰσιν ἢ ἕτεραι. εἰ μὲν γὰρ αἱ αὐταί, πῶς τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα, καὶ διὰ τίν' αἰτίαν; E οἱ μὲν οὖν περὶ Ἡσίοδον καὶ πάντες ὅσοι θεολόγοι μόνον ἐφρόντισαν τοῦ πιθανοῦ τοῦ πρὸς αὑτούς, ἡμῶν δ' ὠλιγώρησαν. θεοὺς γὰρ ποιοῦντες τὰς ἀρχὰς καὶ ἐκ θεῶν γεγονέναι, τὰ μὴ γευσάμενα τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας θνητὰ γενέσθαι φασί, δῆλον ὡς ταῦτα τὰ ὀνόματα γνώριμα λέγοντες αὑτοῖς· καίτοι καὶ περὶ αὐτῆς τῆς προσφορᾶς τῶν αἰτίων τούτων ὑπὲρ F ἡμᾶς εἰρήκασιν. εἰ μὲν γὰρ χάριν ἡδονῆς αὐτῶν θιγγάνουσιν, οὐθὲν αἴτια τοῦ εἶναι τὸ νέκταρ καὶ ἡ ἀμβροσία. εἰ δὲ τοῦ εἶναι, πῶς ἂν εἶεν ἀΐδιοι δεόμενοι τροφῆς; ἀλλὰ περὶ μὲν τῶν μυθικῶς σοφιζομένων οὐκ ἄξιον μετὰ σπουδῆς σκοπεῖν. παρὰ δὲ τῶν

δι' ἀποδείξεως λεγόντων δεῖ πυνθάνεσθαι διερωτῶντας, τί δή ποτ' ἐκ A τῶν αὐτῶν ὄντα τὰ μὲν ἀΐδια τὴν φύσιν ἐστί, τὰ δὲ φθείρεται τῶν ὄντων. ἐπεὶ δὲ οὔτε αἰτίαν λέγουσιν, οὔτε εὔλογον οὕτως ἔχειν, δῆλον ὡς οὐχ αἱ αὐταὶ ἀρχαὶ, οὐδὲ αἰτίαι αὐτῶν εἶεν. καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως αὑτῷ, Ἐμπεδοκλῆς, καὶ οὗτος ταὐτὸν πέπονθεν. τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν B τῆς φθορᾶς τὸ νεῖκος, δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο γεννᾶν ἔξω τοῦ ἑνός. ἅπαντα γὰρ ἐκ τούτου τἆλλά ἐστι πλὴν ὁ θεός. λέγει γοῦν, Ἐξ ὧν πάνθ' ὅσα τ' ἦν, ὅσα τ' ἔσθ', ὅσα τ' ἔσται ὀπίσσω, Δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες, Θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς, Καί τε θεοὶ δολιχαίωνες. καὶ χωρὶς δὲ τούτων δῆλον. εἰ γὰρ μὴ ἦν τὸ νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, C ὥς φησιν. ὅταν γὰρ συνέλθῃ, τότε δ' ἔσχατον ἵστατο νεῖκος. διὸ καὶ συμβαίνει αὐτῷ τὸν εὐδαιμονέστατον θεὸν ἧττον φρόνιμον εἶναι τῶν ἄλλων· οὐ γὰρ γνωρίζει τὰ στοιχεῖα πάντα. τὸ γὰρ νεῖκος οὐκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ. Γαίῃ μὲν γὰρ (φησί) γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, Αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον, Στοργῇ δὲ στοργήν, D νεῖκος δέ τε νείκεϊ λυγρῷ. ὅθεν δὴ ὁ λόγος, τοῦτό γε φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι αἴτιον. ὁμοίως δ' οὐδ' ἡ φιλότης τοῦ εἶναι. συνάγουσα γὰρ εἰς τὸ ἓν, φθείρει τὰ ἄλλα. καὶ ἅμα δὲ αὐτῆς τῆς μεταβολῆς αἴτιον οὐθὲν λέγει, ἀλλ' ἢ ὅτι οὕτως πέφυκεν. Ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη, Εἰς τιμάς τ' ἀνόρουσε E τελειομένοιο χρόνοιο, Ὅς σφιν ἀμοιβαῖος πλατέος παρ' ἐλήλαται ὅρκου. ὡς ἀναγκαῖον μὲν ὂν μεταβάλλειν, αἰτίαν δ' οὐθεμίαν δηλοῖ τῆς ἀνάγκης. ἀλλ' ὅμως τοσοῦτόν γε μόνον λέγει ὁμολογουμένως. οὐ γὰρ τὰ μὲν φθαρτὰ, τὰ δὲ ἄφθαρτα ποιεῖ τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. ἡ δὲ νῦν λεγομένη ἀπορία ἐστί, διὰ τί τὰ μὲν, τὰ δ' οὔ, εἴπερ ἐκ τῶν αὐτῶν ἐστιν. ὅτι μὲν F οὖν οὐκ ἂν εἶεν αἱ αὐταὶ ἀρχαί, τοσαῦτα εἰρήσθω. εἰ δὲ ἕτεραι ἀρχαί, μία μὲν ἀπορία, πότερον ἄφθαρτοι καὶ αὗται ἔσονται ἢ φθαρταί. εἰ μὲν γὰρ φθαρταί, δῆλον ὅτι ἀνάγκη ἐκ τινῶν εἶναι καὶ ταύτας.

A petere oportet, ac interrogare, cur cùm ex eisdem sint, hæc quidem entium sempiterna natura sint, hæc verò corrumpũtur? Cùm autem neque dicant causam, neque rationabile sit, ita se habere, patet, quòd non sunt eorum eadem principia, neque causæ. Empedocles nanque, quem quis maximè sibi ipsi putauerit consona dicere, is quoque idem passus est. Ponit enim B quoddam principium, corruptionis causam, contentionem. Nihilo minùs tamen & hæc videatur generare, præter ipsum vnum. Cuncta enim alia ex hac sunt, præter Deum. Dicit enim,

Ex quibus omnia, quæ erant, quæ sunt, quæque in posterum erunt,
Orta sunt, ac arbores, & viri, ac mulieres,
Feræ, alitésque, & pisces in aqua nutriti,
Ac dij longæui.

C At etiam absque his patet. Nam si non inesset in rebus contentio, vnum omnia (vt ait) essent. Cùm enim conueniant, tunc extima statuitur contentio. Vnde & accidit ei, felicissimum Deum, minùs sapientem cæteris esse, non enim cognoscit omnia elementa. Contentionem nanque non habet. Cognitio autem similis simili.

Terra enim (ait) terram inspicimus, aquam verò aquæ
D *Æthere verò ætherem diuinum, itémque igne ignem omnia absumentem:*
Ac amicitia amicitiam, & contentionẽ contentione perniciosa.

Sed vnde sermo digressus est, hoc est manifestum, quòd accidit ei, contentionem non magis corruptionis, quàm ipsius causam esse: similiter nec amicitiam, ipsius esse. Cùm enim congreget in vnum, corrumpit cætera. Et simul ipsius transmuta-E tionis nullam causam dicit, nisi quòd ita natura aptum est. Cùm enim ait, *magna contentio in membris nutrita fuit. Ac ad honores ascendit tempore perfecto. Quod eis cùm alternum sit, amplum præcessit iusiurandum:* tanquam necesse sit quidem transmutari, causam tamen necessariò nullam manifestat. Tantum tamen sibiipsi consentaneè dicit, quòd non facit hæc quidem entium corruptibilia, hæc verò incorruptibilia, sed omnia corruptibilia præter elemen-F ta. Quæ autem dicitur nunc dubitatio est, cur si omnia ex eisdem sunt, hæc quidem sunt, hæc verò non? Quòd igitur non sint eadem principia, hæc demum dicta sint. Quòd si diuersa principia sunt, vna quidem dubitatio est, vtrum incorruptibilia etiam ista erunt, an corruptibilia. Si enim corruptibilia, patet quòd necesse est, ea quoque ex aliquibus esse. Omnia

Universidad de Deusto Biblioteca

esse in illa, ex quibus sunt, corrumpuntur. Quare accidit, principiorum alia esse principia priora. Hoc autem impossibile, siue statur, siue in infinitum progreditur. Item si principia adimentur, corruptibilia quomodo erunt? Quòd si incorruptibilia sunt, cur ex his quidem, cùm incorruptibilia sint, corruptibilia erunt, ex alteris verò incorruptibilia? Hoc enim non est rationabile, sed aut impossibile est, aut multis indiget rationibus. Item, nemo conatus est alia ostendere, sed eadem omnium principia dicunt: & quod primò dubitatum est, tanquam paruum quiddam putantes, prætereunt. Omnium autem, & ad speculandum difficillimum, & ad cognoscendam veritatem maximè necessarium est, vtrum ipsum ens, & ipsum vnum substantiæ entium sint, & non aliquid aliud vtrunque eorum sit, sed hoc vnum, illud verò ens sit. An oportet quidnam, sit ipsum ens, & ipsum vnum quærere, tanquam altera natura subiecta? Quidam enim illo, quidam verò hoc modo putant naturam habere. Plato nanque, ac Pythagorici, non esse aliud quid ipsum ens, nec ipsum vnum aiebant, sed hoc eorum naturam esse tanquam substantia idem vnum, & ens esset. Qui autem de natura tractarunt, vt Empedocles, tanquam in magis cognitum reducens, dicit quòd vnum est ens: videri nanque possit dicere hoc amicitiam esse. Causa enim hæc omnibus est, vt vnum sint. Alij verò ignem, & alij aerem aiunt ipsum vnum, & ipsum ens esse, ex quo entia & esse, & facta esse. Similiter & qui plura elementa ponunt: necesse enim & his est, tot esse dicere ipsum ens, & ipsum vnum, quot aiunt principia esse. Accidit autem, quòd si quis non ponat esse aliquam substantiam ipsum vnum, & ipsum ens, nec aliorum vniuersalium quicquam esse: hæc enim vniuersalia maximè omnium sunt. Quòd si non est aliquid ipsum ens, & ipsum vnum, multò minus quicquam aliorum sit præter ea, quæ singularia dicuntur. Item, si ipsum vnum non sit substantia, patet quòd nec numerus erit, tanquam natura alia separata ab entibus: numerus enim, vnitates: vnitas verò vnum quid est. Quod si quid est ipsum vnum, & ipsum ens, necesse est, eorum substantiam esse vnum, & ens: non enim aliquid aliud vniuersaliter prædicatur, sed eadem ipsa. At verò si quid erit ipsum ens, & ipsum vnum, magna dubitatio est quonam modo aliquid aliud præter hæc erit. Dico autem quomodo entia erunt plura uno.

A φθείρεσθαι εἰς ταῦτ' ἐξ ὧν ἐστιν, ὥστε συμβαίνει τῶν ἀρχῶν ἑτέρας ἀρχὰς εἶναι προτέρας. τοῦτο δ' ἀδύνατον, καὶ εἰ ἵσταται καὶ εἰ βαδίζει εἰς ἄπειρον. ἔτι δὲ πῶς ἔσται τὰ φθαρτά, εἰ αἱ ἀρχαὶ ἀναιρεθήσονται; εἰ δὲ ἄφθαρτοι, διὰ τί ἐκ μὲν τούτων ἀφθάρτων οὐσῶν φθαρτὰ ἔσται, ἐκ δὲ τῶν ἑτέρων ἄφθαρτα; τοῦτο γὰρ οὐκ εὔλογον, ἀλλ' ἢ ἀδύνατον ἢ πολλοῦ λόγου δεῖται. B ἔτι δὲ οὐδ' ἐγκεχείρηκεν οὐδεὶς ἑτέρας, ἀλλὰ τὰς αὐτὰς ἁπάντων λέγουσιν ἀρχάς. ἀλλὰ τὸ πρῶτον ἀπορηθὲν ἀποτρώγουσιν, ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες. πάντων δὲ καὶ θεωρῆσαι χαλεπώτατον καὶ πρὸς τὸ γνῶναι τἀληθὲς ἀναγκαιότατον, πότερόν ποτε τὸ ὂν καὶ τὸ ἓν οὐσίαι τῶν ὄντων εἰσί, καὶ ἑκάτερον αὐτῶν οὐχ ἕτερόν τι ὂν τὸ μὲν ἓν τὸ δὲ ὂν ἐστιν, ἢ δεῖ ζητεῖν τί ποτ' ἐστὶ τὸ ὂν καὶ τὸ ἓν ὡς ὑποκειμένης ἄλλης C φύσεως. οἱ μὲν γὰρ ἐκείνως οἱ δ' οὕτως οἴονται τὴν φύσιν ἔχειν. Πλάτων μὲν γὰρ καὶ οἱ Πυθαγόρειοι οὐχ ἕτερόν τι τὸ ὂν οὐδὲ τὸ ἕν, ἀλλὰ τοῦτο αὐτῶν τὴν φύσιν εἶναι, ὡς οὔσης τῆς οὐσίας αὐτοῦ τοῦ ἓν εἶναι καὶ ὄν τι. οἱ δὲ περὶ φύσεως, οἷον Ἐμπεδοκλῆς ὡς εἰς γνωριμώτερον ἀνάγων λέγει ὅ τι τὸ ἕν ἐστιν· δόξειε γὰρ ἂν λέγειν τοῦτο τὴν φιλίαν εἶναι· αἰτία γοῦν D ἐστιν αὕτη τοῦ ἓν εἶναι πᾶσιν. ἕτεροι δὲ πῦρ, οἱ δ' ἀέρα φασὶν εἶναι τὸ ἓν τοῦτο καὶ τὸ ὄν, ἐξ οὗ τὰ ὄντα εἶναί τε καὶ γεγονέναι. ὡς δ' αὔτως καὶ οἱ πλείω τὰ στοιχεῖα τιθέμενοι· ἀνάγκη γὰρ καὶ τούτοις τοσαῦτα λέγειν τὸ ἓν καὶ τὸ ὂν ὅσας περ ἀρχὰς εἶναί φασι. συμβαίνει δέ, εἰ μέν τις μὴ θήσεται εἶναί τινα οὐσίαν τὸ ἓν καὶ τὸ ὄν, μηδὲ τῶν ἄλλων εἶναι τῶν καθόλου μηδέν· ταῦτα E γάρ ἐστι καθόλου μάλιστα πάντων. εἰ δὲ μὴ ἔστι τι ἓν αὐτὸ μηδ' αὐτὸ ὄν, σχολῇ τῶν γε ἄλλων τι ἂν εἴη παρὰ τὰ λεγόμενα καθ' ἕκαστα. ἔτι δὲ μὴ ὄντος τοῦ ἑνὸς οὐσίας, δῆλον ὅτι οὐδ' ἂν ἀριθμὸς εἴη ὡς κεχωρισμένη τις φύσις τῶν ὄντων· ὁ μὲν γὰρ ἀριθμὸς μονάδες, ἡ δὲ μονὰς ὅπερ ἕν τί ἐστιν. εἰ δ' ἔστι τι αὐτὸ ἓν καὶ αὐτὸ ὄν, ἀναγκαῖον οὐσίαν αὐτῶν εἶναι τὸ ἓν καὶ τὸ ὄν· οὐ γὰρ ἕτερόν τι καθόλου κατηγορεῖται, F ἀλλὰ ταῦτα αὐτά. ἀλλὰ μὴν εἴ γ' ἔσται τι αὐτὸ ὂν καὶ αὐτὸ ἕν, πολλὴ ἀπορία πῶς ἔσται τι παρὰ ταῦτα ἕτερον, λέγω δὲ πῶς ἔσται πλείω ἑνὸς τὰ ὄντα.

τὸ γὰρ ἕτερον τοῦ ὄντος οὐκ ἔστιν, ὥστε κατὰ τὸν Παρμενίδου συμβαίνειν ἀνάγκη λόγον ἓν ἅπαντα εἶναι τὰ ὄντα, καὶ τοῦτο εἶναι τὸ ὄν. ἀμφοτέρως δὲ δύσκολον· ἄν τε γὰρ μὴ ᾖ τὸ ἓν οὐσία, ἄν τε ᾖ τὸ αὐτὸ ἕν, ἀδύνατον τὸν ἀριθμὸν οὐσίαν εἶναι. ἐὰν μὲν οὖν μὴ ᾖ, εἴρηται πρότερον δι' ὅ· ἐὰν δὲ ᾖ, ἡ αὐτὴ ἀπορία καὶ περὶ τοῦ ὄντος. ἐκ τίνος γὰρ παρὰ τὸ ἓν ἔσται αὐτὸ ἄλλο ἕν; ἀνάγκη γὰρ μὴ ἓν εἶναι· ἅπαντα δὲ τὰ ὄντα ἢ ἓν ἢ πολλά, ὧν ἓν ἕκαστον. ἔτι εἰ ἀδιαίρετον αὐτὸ τὸ ἕν, κατὰ μὲν τὸ Ζήνωνος ἀξίωμα οὐθὲν ἂν εἴη. ὃ γὰρ μήτε προστιθέμενον μήτε ἀφαιρούμενον ποιεῖ μεῖζον μηδὲ ἔλαττον, οὔ φησιν εἶναι τοῦτο τῶν ὄντων, ὡς δηλονότι ὄντος μεγέθους τοῦ ὄντος· καὶ εἰ μέγεθος, σωματικόν· τοῦτο γὰρ πάντῃ ὄν· τὰ δὲ ἄλλα πῶς μὲν προστιθέμενα ποιήσει μεῖζον, πῶς δ' οὐθέν, οἷον ἐπίπεδον καὶ γραμμή, στιγμὴ δὲ καὶ μονὰς οὐδαμῶς. ἀλλ' ἐπειδὴ οὗτος θεωρεῖ φορτικῶς, καὶ ἐνδέχεται εἶναι ἀδιαίρετόν τι, ὥστε καὶ οὕτως καὶ πρὸς ἐκεῖνόν τιν' ἔχει ἀπολογίαν, μεῖζον μὲν γὰρ οὐ ποιήσει, πλεῖον δὲ προστιθέμενον τὸ τοιοῦτον· ἀλλὰ πῶς δὴ ἐξ ἑνὸς τοιούτου ἢ πλειόνων τοιούτων ἔσται μέγεθος; ὅμοιον γὰρ καὶ τὴν γραμμὴν ἐκ στιγμῶν εἶναι φάσκειν. ἀλλὰ μὴν καὶ εἴ τις οὕτως ὑπολαμβάνει ὥστε γενέσθαι, καθάπερ λέγουσί τινες, ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου μὴ ἑνός τινος τὸν ἀριθμόν, οὐθὲν ἧττον ζητητέον διὰ τί καὶ πῶς ὁτὲ μὲν ἀριθμὸς ὁτὲ δὲ μέγεθος ἔσται τὸ γεγενημένον, εἴπερ τὸ μὴ ἓν ἡ ἀνισότης, καὶ ἡ αὐτὴ φύσις ἦν. οὔτε γὰρ ὅπως ἐξ ἑνὸς καὶ ταύτης, οὔτε ὅπως ἐξ ἀριθμοῦ τινος καὶ ταύτης γένοιτ' ἂν τὰ μεγέθη, δῆλον.

Κεφάλαιον ε.

Τούτων δ' ἐχομένη ἀπορία, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα καὶ τὰ ἐπίπεδα καὶ αἱ στιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ. εἰ μὲν γὰρ μή εἰσι, διαφεύγει τί τὸ ὂν καὶ τίνες αἱ οὐσίαι τῶν ὄντων. τὰ μὲν γὰρ πάθη καὶ αἱ κινήσεις καὶ τὰ πρός τι, καὶ αἱ διαθέσεις καὶ οἱ λόγοι, οὐδενὸς δοκοῦσιν οὐσίαν σημαίνειν. λέγονται γὰρ πάντα καθ' ὑποκειμένου τινός, καὶ οὐθὲν τόδε τι. ἃ δὲ μάλιστα δόξειεν ἂν σημαίνειν οὐσίαν, ὕδωρ καὶ γῆ καὶ πῦρ, ἐξ ὧν τὰ σύνθετα σώματα συνέστηκε, τούτων θερμότητες μὲν καὶ ψυχρότητες καὶ τὰ τοιαῦτα πάθη, οὐκ οὐσίαι, τὸ δὲ σῶμα τὸ ταῦτα πεπονθὸς μόνον ὑπομένει ὡς ὄν τι καὶ οὐσία τις οὖσα. ἀλλὰ μὴν τό γε σῶμα ἧττον οὐσία τῆς ἐπιφανείας

A Quod enim aliud ab ente est, nō est. Quare secundum Parmenidis rationem, necesse est accidere omnia entia, esse vnum, & hoc esse ens. Vtroque autem modo difficile est, siue ens vnum non sit substantia, siue ipsum vnum sit, impossibile est numerum esse substantiam. Et quare quidem si non sit, dictum est prius. Si autem sit, eadem ac de ente dubitatio est. Ex quo enim & præter ipsum vnum, erit B aliud vnum? necesse profectò est nihil esse. Omnia verò entia, aut vnum, aut plura, quorum vnumquodque vnum est. Item, si ipsum vnum indiuisibile, secundum quidem Zenonis positionem, nihil vtique fuerit. Quod enim neque additum, neque demptum, facit aliquid maius, id non esse entium aiunt, tanquam ens magnitudo sit. Et si magnitudo, corporalis. Hæc nanque omniquaque ens: C cætera verò quodam modo quidem addita facient maius, quodam modo, nihil: vt superficies, & linea facient, punctum verò, & vnitas minimè. Sed cùm ipse molestè speculetur, ac contingat aliquid indiuisibile esse, sic ad illum habetur aliqua responsio. Huiuscemodi nanque additum non maius, sed plus efficit. Sed quomodo ex vno tali, aut pluribus magnitudo erit? Simile nanque est, ac si dicatur, ex pun- D ctis lineam esse. Quòd si quis ita putat, vt quemadmodum quidam dicunt, ex ipso vno, & alio quodam non vno numerus fiat, nihilò minùs tamen quærendum est, cur, & quomodo quandoque numerus, quandoque magnitudo erit, quod fit, si ipsum non vnum, inæqualitas, ac eadem natura erat? Nec enim apparet, quo pacto ex vno, & ista, neque quo pacto ex aliquo numero, & ista, magnitu- E dines fieri queant.

CAPVT V.

His autem consequens dubitatio est, vtrum numeri, & corpora superficies, & puncta aliquæ substantiæ sint, an non. Si enim non sunt, fugit nos quidnam ipsum ens, & quæ entium substantiæ sint. Passiones enim, & motus, & quæ ad aliquid sunt, ipsæque dispositiones, ac proportiones, nullius substantiam significare F videntur. Cuncta etenim de aliquo subiecto dicuntur, nihilque horum ipsum est. Quæ verò maximè substantiam videantur significare, sunt aqua, terra, & ignis, ex quibus composita corpora consistunt, horum caliditates quidem, & frigiditates, & huiuscemodi passiones, nō substantiæ sunt, corpus verò solum, quod hæc

Universidad de Deusto
Biblioteca

patitur, permanet, tanquam aliquod ens, & aliqua existens substantia. At verò corpus, minùs est substantia, quàm superficies: & superficies, quàm linea: & linea, quàm vnitas, & punctum. His enim corpus definitur. Et hæc quidem videntur posse sine corpore esse, corpus verò, absque his impossibile esse. Quare plures quidem, & antiquiores, substantiam qualem, & ens, putabant esse corpus, cætera verò huius passiones: vt & principia corporum, entium essent principia: posteriores verò, & illis sapientiores habiti, numeros. Quemadmodum naque diximus, si hæc non sunt substantiæ, nulla substantia, nec aliquod ens omnino est. Quæ enim eis accidunt, non conuenit entia nominare. At si hoc idem conceditur quòd longitudines, & puncta magis, quàm corpora, substantiæ sint, at qualia corpora hæc sint, non videmus, (in sensibilibus nanque impossibile est esse) non erit profectò vlla substantia. Item, videntur hæc omnia, dimensiones corporis esse, hoc quidem ad latitudinem, hoc verò ad profunditatem, illud verò ad longitudinem. Ea hæc, similiter inest in solido quæcunque figura. Quare si nec in lapide Mercurius, nec in cubo dimidium cubi, sic vt distinctum, ergo nec superficies. Nam si quæcunque & ea profectò sit, quæ dimidium distinguit. Eadem autem ratio & de linea, puncto, & vnitate est. Quare si corpus maximè substantia est, [illegible] autem corpore magis, hæc verò non sint, neque substantiæ quædam sint. Fugiet nos profectò quidnam sit ens, quæve entium substantia est. Ad hæc enim, quæ dicta sunt, etiam quæ circa generationem & corruptionem, accidunt inconuenientia. Videtur enim substantia, cùm antè non sit, nunc sit, aut cùm anteà sit, postea non, hæc pati, fieri scilicet, atque corrumpi. At puncta, lineas, & superficies, neque fieri, neque corrumpi contingit, cùm quandoque sint, quandoque verò non sint. Cùm enim tangant, aut diuidantur corpora, quandoque vna, cùm simul tangunt, quandoque duæ, cùm diuiduntur, fiunt. Quare neque iam compositis sunt, sed corruptæ sunt, & diuisis sunt, cùm antea non essent. Punctum nanque indiuisibile, non est diuisum in duo. Cæterum si generantur, & corrumpuntur, ex aliquo fiunt. Similiter autem se habet & circa nunc quod est in tempore; nec hoc enim contingit generari, & corrumpi, sed tamen aliud esse semper videtur, cùm substantia [illegible] puter

A καὶ αὐτὰ τὰς γραμμὰς, καὶ αὐτὰ τὰς μονάδας καὶ τὰς στιγμὰς. τοῦτοι γὰρ ὅριζονται τὰ σώματα καὶ τὰ ἐπίπεδα καὶ τὰς γραμμὰς καὶ τὴν μονάδα. ἐν τοῖς οὖν τοιούτοις δοκεῖ εἶναι τὸ σῶμα οὐκ ἐνδέχεσθαι εἶναι. δοκοῦσι δὲ καὶ πολλοὶ καὶ οἱ παλαιότατοι τῶν οὐσιῶν καὶ τοῦ ὄντος σῶμα εἶναι, πάντα δὲ τούτου παθήματα καὶ τὰς ἀρχὰς τὰς τῶν σωμάτων, τῶν ὄντων εἶναι ἀρχὰς οἱ δὲ ὕστερον καὶ σοφώτεροι τῶν πολλῶν εἶναι δόξαντες, ἀριθμούς. καθάπερ οὖν εἴπομεν, εἰ μὴ ἔστι οὐσία ταῦτα, ἔλαττον οὐδὲν ἔστι οὐσία, οὐδὲ ὂν οὐδέν. εἰ γὰρ δὴ τὰ γε συμβεβηκότα τοῦτοις, ἄξιον ἂν εἴη καλεῖν. δηλονότι εἰ τοῦτο ὁμολογεῖται, ὅτι μᾶλλον δεῖ οὐσίαν τὰ μήκη τῶν σωμάτων καὶ τὰ στιγμὴ ταῦτα δὲ μὴ ἐφεξῆς τούτων οὐδὲν εἶναι σωμάτων (ἐν γὰρ τοῖς αἰσθητοῖς οὐδαμοῦ εἶναι) ἀλλ' οὐδὲν οὐσία οὐδεμία. ἔτι φαίνεται τούτων ταῦτα διωρισμένα ἔντα τὰ σώματα, τὸ μὲν τὶς πλάτος, τὸ δὲ εἰς βάθος, τὸ δὲ τὶς μῆκος. ὥστε δὴ τοῦτοις ἔμοιγε δοκεῖ ἐν τῷ στερεῷ ὑπάρχειν σῶμα. οὐ' εἰ μὲν ἐν τῷ λίθῳ ἐστὶν, οὐδὲ τὸ ἥμισυ τοῦ κύβου ἐν τῷ κύβῳ οὔτε τὸ ἡμίσυ, ἐν ᾧ οὐδὲ ὁτιοῦν. εἰ γὰρ ὑπάρχει, καὶ αὐτὸ ἂν εἴη ὁ ἀφορίζουσα τὸ ἥμισυ. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς καὶ ἐπὶ στιγμῆς καὶ μονάδος. οὐ' εἰ μάλιστα μὲν οὐσία τὸ σῶμα, τούτου δὲ μᾶλλον ταῦτα, μὴ ἔστι δὲ ταῦτα μηδὲ οὐσία τινὶ, διαφεύγει τί τὸ ὄν, καὶ τίς ἡ οὐσία τῶν ὄντων. φανερὸν γὰρ τοῖς εἰρημένοις, καὶ τὰ οἷα τινὰ γίγνεται ἢ τινὰ φθείρεται συμβαίνει ἄλογα. δοκεῖ μὲν γὰρ ἡ οὐσία μὴ οὖσα πρότερον, ὕστερον δὲ ὑπάρχειν οὖσα, ὅταν μὴ μὲν τοῦτο γένεσιν καὶ ἀδιαίρετος τυγχάνῃ ἐν τῷ παχεῖ. τὰς δὲ στιγμὰς καὶ τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας, οὐκ ἐνδέχεται οὔτε γίγνεσθαι οὔτε φθείρεσθαι, ὅτε μὲν εἶναι, ὅτε δὲ οὐκ εἶναι. ὅταν γὰρ ἁπτόμενα ἢ διαιρῆται τὰ σώματα ἅμα, ἐνὶ μὲν μία ἀπολείπεται, ὅτε δὲ δύο διαιρουμένου γίγνεται. οὐ' οὖν συγκείμενα ἐστὶν, ἀλλ' ἐφθαρται, διαιρεθέντα τε οὐκ ἔτι πρότερον οὐσία. εἰ γὰρ δὴ ἔτι ἀδιαίρετον στιγμὴ, διαιρεῖται εἰς δύο· εἰ τε γίγνεται καὶ φθείρεται, ἐκ τινος γίγνεται. παραπλήσιον δ' ἔχει καὶ περὶ τοῦ νῦν, τὸ ἐν τῷ χρόνῳ. οὐδὲν γὰρ οὗτο ἐνδέχεται γίγνεσθαι, καὶ γὰρ φθείρεσθαι. ἀλλ' ἄμφω ἔοικεν ἀεὶ εἶναι. ἐν οὐσία τις οὖσα.

ὁμοίως δὴ ἄλογον ἐπὶ τῆς εἰς τὰ οἷα τὰς στιγμὰς καὶ τὰς γραμμὰς, καὶ οἷα τὰ ἐπίπεδα. ἐν γὰρ αὐτοῖς λόγος. ἀπορεῖται γὰρ ὁμοίως, τί οἷα τὰ, τί διαιρέσεις εἰσί.

Κεφάλαιον ϛ.

Ὅλως δ' ἀπορήσειε τις, διὰ τί οὐ διαιρεῖται ἀλλ' ἄπαντα ζητεῖ τὰ εἴδη τὰ μεταξύ, εἴ τι τὴν ἀριθμὸν εἴδη. εἰ γὰρ [διὰ τοῦτο, ἢ] τὰ μὲν μεταξὺ τῶν ἀριθμῶν εἴδη, ἀλλ' τὰ μὲν διαφέρει, τὰ δὲ πολλὰ ἄπαν ὁμοειδῆ εἶναι, οὐδὲν διαφέρει. ὥστ' ἐν ἔστιν αὐτῶν ἀρχὴ ἀριθμὸς ἀφωρισμένος, ὥσπερ οὐδὲ τῶν εἰς τοῦτο γραμμικῶν, ἀριθμοὶ μὲν τούτων οὐκ εἰσὶν οἱ ἀρχαὶ ἀορίστου, εἴδη δὲ· εἰ δὲ μὴ λαμβάνει τὶς κατὰ τὴν συλλαβὴν, ἢ κατὰ τὴν φωνὴν. τούτων δ' ἔστιν καὶ ἀριθμὸς ἀφωρισμένος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταξύ. ἄπειρα γὰρ καὶ τὰ ὁμοειδῆ. ὥστ' εἰ μὴ ἔστι παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ, ἄπειρα ἔσται τὰ εἴδη λέγοντες τὰ εἴδη τινὲς, ὥστε ἔσται μία ἀριθμὸς καὶ πάντα οὐσία· οὐδὲ οἱ ἀρχαὶ τῶν ἔστιν ἀριθμὸς ἔστιν τοσαῦταί τινες, δηλονότι εἴδεσι, εἰ ὁ αὐτὸς τούτου λόγος, καὶ τὰ εἴδη ἀναγκαῖον διὰ τοῦτο εἶναι. εἰ γὰρ εἰ μὴ καλῶς διωρίσθαι εἰ λέγοντες, ἀλλ' ἔστ τοῦτ' ἃ βούλεται, εἰ κοινὸν καὶ τοῦτο λέγοι αὐτοῖς, ὅτι τῶν εἰδῶν οὐσία τις ἔστιν ὧν, καὶ οὐδὲν ἔτι συμβεβηκὸς, δηλονότι εἰ καὶ ἀριθμὸς τὰ εἴδη εἶναι, καὶ εἰ αὐτὸ μὴ τὰς ἀρχὰς, δηλονότι εἰ συμβαίνοι ἄλογον καὶ ἀδύνατα. ἀναγκαῖον δὴ τοῦτο δεῖ τὸ διαπορῆσαι, πότερον δυνάμει ὄντα τὰ στοιχεῖα, ἢ τι ἄλλο ὄντα. εἰ μὲν γὰρ δυνάμει, πῶς, πρότερόν τι ἔσται ἢ ἀρχὴ ἀριθμὸς. πρότερον γὰρ ἡ δύναμις ἐκείνου τοῦ οὗ ἐστὶν· τὸ δὲ δυνατὸν εἶναι ἀναγκαῖον ἐκείνως πῶς ἔχειν. εἰ δ' ἔστι δυνάμει τὰ στοιχεῖα, ἐνδέχεται μηδὲν εἶναι. δυνατὸν γὰρ εἶναι καὶ τὸ μὴ ὄν· οὐδὲν δὲ γίγνεται οὐδὲ φθείρεται. πάντες τε οἱ τὰς ἀπορίας ἀναγκαῖον ἀπορεῖν ἀεὶ τίνι ἀρχῇ χρὴ πότερον καθόλου εἶναι, ἢ οἷς λέγομεν τὰ καθόλου. εἰ μὲν γὰρ καθόλου, οὐκ ἔσται οὐσία· οὐδὲν γὰρ τῶν κοινῶν τόδε τι σημαίνει, δηλονότι τοιόνδε

A Pater autem quod etiam circa puncta, lineas, & superficies, similiter se habent eadem enim ratio est. Cuncta nanque similiter aut hæc, aut diuisiones sunt.

CAPVT VI.

Omnino autem aliquis dubitabit, quare oportet alia quædam præter sensibilia, & media quærere, vtputa eas, quas ponimus species. Si enim propterea quòd mathematica quidem ab iis, quæ hic sunt, alio quodam differunt, in eo sanè, B quod plura eiusdem speciei sunt, nihil differunt: & ideo non erunt eorum principia, numero determinata, sicuti etiam hic literarum numero quidem non sunt, omnium principia determinata, sed species: nisi quis, huius syllabæ, & huius vocis accipiat. Harum enim, numero etiam determinata erunt. Similiter etiam de mediis. Infinita etenim etiam illic sunt, C quæ eiusdem speciei sunt. Quare si præter sensibilia, & mathematica, non sint alia quædam, qualia dicunt quidam species esse, non erit vna numero, & specie substantia: nec entium principia aliqua numero aliquot, sed specie erunt. Si itaque hoc necessarium est, & species propterea necesse est esse. Etenim quanquam non bene declarent, qui hæc dicunt, hoc tamen est, quod volunt: & necesse est eis hoc dicere, quod specierum vnaquæque substantia quædam sit, & nulla secundum accidens. At verò si ponemus species esse, & principia vnum numero non specie esse, diximus quæ impossibilia necesse est accidere. His autem propè est dubitare, vtrum potentia, an alio quodam modo elementa sint. Si enim alio quodam modo, erit aliquid aliud principiis prius: potentia nanque, prior illa causa est. Non est autem necesse, vt omne, quod potentia est, illo modo se habeat. Quod si elementa potentia sunt, contingit nihil entium esse. Possibile enim est esse, etiam quod nondum est. Fit enim quòd non est; sed nihil eorum fit, quæ esse impossibilia sunt. Ex his itaque de principiis dubitationibus, necesse est dubitare. Et vtrum vniuersalia sint, an (vt dicimus) singularia. Si enim vniuersalia, non erunt substantiæ. Nihil enim communium, quod quid, F sed quale quid significat: sed substantia, quod quid. Quod si quod communiter prædicatur, quod quid sit, & exponi possit, multa animalia erunt ipse Socrates, & homo, & animal: si singula quidem, quod quid & vnum significant. Si igitur principia vniuersalia sunt, hæc accidunt.

Universidad de Deusto Biblioteca

Quod si non vniuersalia sint, sed vt ipsa singularia, non erunt scibilia. Ipsius enim vniuersalis, omnium scientiæ sunt. Quare erunt alia principia priora de principiis vniuersaliter prædicata, si sit quidem eorum futura scientia.

ARISTOTELIS METAPHYSICORVM LIBER III.

CAPVT I.

Est quædam scientia, quæ speculatur ens, prout ens est, & quę ei per se insunt. Hæc autem, nulli earum, quæ in parte dicuntur, eadem est: nullæ nanque cæterarum, vniuersaliter de ente, prout ens est, considerant, sed etiam aliquam partem abscindentes, quod ei accidit speculantur, vt mathematicæ scientiæ. Cùm autem principia, & supremas causas quæramus, patet quòd alicuius naturæ per se necesse est eas esse. Si igitur illi etiam, qui entium elementa quærunt, ista principia quærebant, necesse est etiam elementa entis non secundum accidens esse, sed prout entia sunt. Quare nobis quoque entis, prout entis, primas causas accipiendũ est.

CAPVT II.

Ens autem multipliciter quidem dicitur, verùm ad vnum, vnámque quandam naturam: & non æquiuocè, sed quemadmodum omne sanum ad sanitatem: quoddam eo quòd conseruat: quoddam eo quòd facit: quoddam eo quòd signum sanitatis: quoddam verò, capax eius est: & medicinale ad medicinam. Quoddam enim eo, quòd habet medicinam, medicinale dicitur: quoddam propterea, quòd natura aptum ad eam sit: quoddam propterea, quòd opus medicinæ sit: eodem modo cætera quoque accipiemus: ita & ens multipliciter quidem dicitur, sed totum ad vnum principium. Quædam enim, quoniam substantiæ, entia dicuntur: quædam, quoniam passiones substantiæ, quædam quoniam via ad substantiam, aut corruptiones, aut priuationes, aut qualitates, aut effectiua, aut generatiua substantiæ, siue eorum quæ ad substantiam dicuntur, aut ad aliquorum ex his negationes, aut substantias. Quare & ipsum non ens, esse non ens dicimus. Quemadmodum igitur sa[illegible] de cæteris est. Non enim solùm eorum, [illegible] etiam eorum, quæ ad vnam naturam di[illegible]

εἰ δὲ μὴ καθόλου, ἀλλ' ὡς τὰ καθ' ἕκαστα, οὐκ ἔσονται ἐπιστηταί· καθόλου γὰρ αἱ ἐπιστῆμαι πάντων. ὥστ' ἔσονται ἀρχαὶ ἕτεραι πρότεραι τῶν ἀρχῶν καθόλου κατηγορούμεναι, ἄνπερ μέλλῃ ἔσεσθαι αὐτῶν ἐπιστήμη.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ τῶν μετὰ τὰ φυσικὰ τὸ γ.

Κεφάλαιον α.

Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν, καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτό. αὕτη δ' ἐστὶν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος ᾗ ὂν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι, περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός, οἷον αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν. ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκροτάτας αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς ἀναγκαῖον εἶναι καθ' αὑτήν. εἰ οὖν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες, ταύτας τὰς ἀρχὰς ἐζήτουν, ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκός, ἀλλ' ᾗ ὄντα. διὸ καὶ ἡμῖν τοῦ ὄντος ᾗ ὂν, τὰς πρώτας αἰτίας ληπτέον.

Κεφάλ. β.

Τὸ δὲ ὂν, λέγεται μὲν πολλαχῶς, ἀλλὰ πρὸς ἓν, καὶ μίαν τινὰ φύσιν, καὶ οὐχ ὁμωνύμως, ἀλλ' ὥσπερ καὶ τὸ ὑγιεινὸν ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ τῷ ποιεῖν, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, τὸ δ' ὅτι δεκτικὸν αὐτῆς, καὶ τὸ ἰατρικὸν πρὸς ἰατρικήν· τὸ μὲν γὰρ τῷ ἔχειν ἰατρικὴν, λέγεται ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς αὐτήν, τὸ δὲ τῷ ἔργον εἶναι τῆς ἰατρικῆς. ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα λεγόμενα τούτοις. οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μὲν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν. τὰ μὲν γὰρ, ὅτι οὐσίαι, ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας, τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν, ἢ φθοραὶ, ἢ στερήσεις, ἢ ποιότητες, ἢ ποιητικὰ, ἢ γεννητικὰ οὐσίας, ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων τινὸς ἀποφάσεις, ἢ οὐσίας. διὸ καὶ τὸ μὴ ὂν, εἶναι μὴ ὄν φαμεν. καθάπερ [illegible]

καὶ γὰρ ταῦτα τρόπον τινὰ λέγεται καθ' ἕν. δῆλον οὖν ὅτι καὶ τὰ ὄντα μιᾶς θεωρῆσαι ᾗ ὄντα. πανταχοῦ δὲ κυρίως τοῦ πρώτου ἡ ἐπιστήμη, καὶ ἐξ οὗ τὰ ἄλλα ἤρτηται, καὶ δι' ὃ λέγονται. εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον. ἅπαντος δὲ γένους, καὶ αἴσθησις μία ἑνὸς καὶ ἐπιστήμη· οἷον γραμματικὴ μία οὖσα, πάσας θεωρεῖ τὰς φωνάς. διὸ καὶ τοῦ ὄντος ὅσα εἴδη θεωρῆσαι, μιᾶς ἐστιν ἐπιστήμης τῷ γένει, τά τε εἴδη τῶν εἰδῶν. εἰ δὴ τὸ ὂν καὶ τὸ ἓν ταὐτὸν, καὶ μία φύσις, τῷ ἀκολουθεῖν ἀλλήλοις, ὥσπερ ἀρχὴ καὶ αἴτιον, ἀλλ' οὐχ ὡς ἑνὶ λόγῳ δηλούμενα· διαφέρει δὲ οὐθὲν, οὐδ' ἂν ὁμοίως ὑπολάβωμεν, ἀλλὰ καὶ πρὸ ἔργου μᾶλλον. ταὐτὸ γὰρ εἷς ἄνθρωπος, καὶ ὢν ἄνθρωπος, καὶ ἄνθρωπος· καὶ οὐχ ἕτερόν τι δηλοῖ κατὰ τὴν λέξιν ἐπαναδιπλούμενον, τὸ εἷς ἐστιν ἄνθρωπος, καὶ ἄνθρωπος. δῆλον δ' ὅτι οὐ χωρίζεται οὔτ' ἐπὶ γενέσεως, οὔτ' ἐπὶ φθορᾶς. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνός. ὥστε φανερὸν ὅτι ἡ πρόσθεσις ἐν τούτοις ταὐτὸ δηλοῖ, καὶ οὐδὲν ἕτερον τὸ ἓν παρὰ τὸ ὄν. ἔτι δ' ἡ ἑκάστου οὐσία, ἕν ἐστιν οὐ κατὰ συμβεβηκός· ὁμοίως δὲ καὶ ὅπερ ὄν τι. ὥσθ' ὅσα περ τοῦ ἑνὸς εἴδη, τοσαῦτα καὶ τοῦ ὄντος. περὶ ὧν τὸ τί ἐστι, τῆς αὐτῆς ἐπιστήμης τῷ γένει θεωρῆσαι. λέγω δ' οἷον περὶ ταὐτοῦ καὶ ὁμοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων. σχεδὸν δὲ πάντα ἀνάγεται τἀναντία εἰς τὴν ἀρχὴν ταύτην. τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν τῇ ἐκλογῇ τῶν ἐναντίων. καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστὶν, ὅσαι περ αἱ οὐσίαι. ὥστε ἀναγκαῖον εἶναί τινα πρώτην, καὶ ἐχομένην αὐτῶν. ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ὂν, καὶ τὸ ἕν. διὸ καὶ αἱ ἐπιστῆμαι ἀκολουθήσουσι τούτοις. ἔστι γὰρ ὁ φιλόσοφος ὥσπερ ὁ μαθηματικὸς λεγόμενος. καὶ γὰρ αὕτη ἔχει μέρη, καὶ πρώτη τις καὶ δευτέρα ἐστὶν ἐπιστήμη, καὶ ἄλλαι ἐφεξῆς ἐν τοῖς μαθήμασιν. ἐπεὶ δὲ μιᾶς τἀντικείμενα θεωρῆσαι, τῷ δ' ἑνὶ ἀντίκειται πλῆθος, ἀπόφασιν δὲ καὶ στέρησιν μιᾶς ἐστι θεωρῆσαι, διὰ τὸ ἀμφοτέρως θεωρεῖσθαι τὸ ἕν, οὗ ἡ ἀπόφασις, ἢ ἡ στέρησις, ἢ ἁπλῶς λεγόμενον ὅτι οὐχ ὑπάρχει ἐκείνῳ, ἢ τινὶ γένει. ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεστι παρὰ τὸ ἐν τῇ ἀποφάσει· (ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου ἐστίν) ἐν δὲ τῇ στερήσει, καὶ ὑποκειμένη τις φύσις γίγνεται, καθ' ἧς λέγεται ἡ στέρησις.

Etenim hæc etiam quodammodo secundum vnum dicuntur. Patet itaque vnius esse, & entia prout entia speculari. Vbique autem propriè primi, & ex quo cætera pendent, & propter quod dicuntur, scientia: quòd si hoc substantia est, oportet profectò, vt substantiarum principia, & causas philosophus habeat. Omnis autem generis, & sensus vnus vnius, & scientia: veluti grammatica vna existens, omnes voces speculatur. Quare entis quoque quot species sunt, & species specierum speculari, vnius scientiæ genere est. Si itaque ens, & vnum idem, ac vna natura sunt, propterea quòd se inuicem sequuntur, quemadmodum principium, & causa, non quòd vna ratione significantur, nihil quidem refert, si etiam similiter putabimus, quinimo magis proderit. Idem enim vnus homo, & ens homo, ac homo: & non significat diuersum aliquid secundũ dictionem repetitã, id est homo, & homo, & vnus homo. Patet autem quòd non separatur ens nec in generatione, nec in corruptione. Similiter & de vno. Quare manifestũ est, quòd additio in his idẽ significat: & quòd vnum nihil aliud est, præter ens. Itẽ, cuiusq. substantia, vnum est, non secundũ accidẽs: similiter & ipsum ens, quoduis. Quare quot vnius species, totidẽ & entis sunt. De quibus ipsum quid est speculari, eiusdẽ generc scientiæ est. Dico autẽ, vtputa, de eodẽ, & simili, cæterisq. huiusmodi. Ferè autem omnia cõtraria, ad hoc principium reducuntur. Considerata sunt autẽ hæc à nobis in electione contrariorum: totq. philosophiæ partes sunt, quot substantiæ. Quare necesse est, vt aliqua earum prima, & alia sequens sit. Sunt autem subinde habentia genera ipsum vnum, & ens. Quare etiam scientię sequentur ista. Philosophus nanq. est, vt ille, qui mathematicus dicitur. Et hæc enim habet partes. Ac prima quædã, & secunda scientia est. Cæteræ quoq. consequẽter, in mathematib. Cæterũ vnius est opposita speculari, vni verò opponitur pluralitas: negationẽ verò, & priuationem vnius est speculari, propterea quòd vtroq. modo vnum speculatur id, cuius est negatio, aut priuatio, siue quæ simpliciter dicitur, quod non inest illi, siue alicui generi. Ibi siquidem vni differentia est, præter illud quod in negatione. Negatio nanq. absentia illius est. In priuatione verò, & subiecta quædã natura fit, de quà priuatio dicitur.

Universidad de Deusto
Biblioteca

etur. Vni autē pluralitas opponitur. Quare etiā prædictis opposita, diuersum, dissimile, & inæquale, & quæcunque alia, quæ aut secundum eadē dicuntur, aut secundū pluralitatē, & vnitatem cognoscere, dictæ scientiæ est. Ex quibus vnū quiddā est scilicet cōtrarietas. Contrarietas n. differentia quædam: differētia verò diuersitas. Quare cum vnum multipliciter dicatur, hæ quoque multipliciter quidem dicētur, vnius tamen est cuncta cognoscere. Nō n. si multipliciter, ideo alterius. Sed si neq. secundū vnū, neq. ad vnū rationes reducuntur, tūc alterius. Cùm autē ad primū cuncta reducuntur, vt puta quotcunq. vnū dicuntur ad primū vnū, similiter de codē, & diuerso, & contrariis dicendum se habere. Quapropter diuidendo quoties singula dicūtur, sic attribuendum est ad primū in vnoquoq. prædicamento, quomodo ad illud dicitur, quædam eò quòd habent illud: quædam eo quòd faciunt: quædam secundum alios huiuscemodi modos dicentur. Manifestum itaque quod in dubitationibus dictum est, vnius esse, tā de his, quàm de substātia rationem habere. Hoc autem vnum erat eorum, quæ in dubitationibus diximus. Et philosophi est, de omnibus posse speculari. Si enim non philosophi, quis erit, qui considerabit, si idem Socrates, & Socrates sedens aut si vnum, vni contrarium? aut quid est contrarium, aut quoties dicitur. Similiter de cæteris, quoque huiuscemodi. Cùm itaque vnius prout vnius & entis prout entis, hæ per se passiones sint, & non prout numeri, aut lineæ, aut ignis, patet quòd illius scientiæ est. & quid est cognoscere, & accidentia eis. Et non in hoc errant, qui de his considerant, tanquam non philosophantes, sed quoniam substantia, de qua nihil sciunt, prior est. Nam quemadmodum & numeri, prout numerus est, propriæ passiones sunt, vt imparitas paritas, commensuratio, æqualitas excessus, defectus, & hæc tū absolutis, tum mutuò relatis insunt numeris, similiter solido, & immobili & mobili, & leui, & graui aliqua propria sunt, ita & enti, prout ens est, quædam propria sunt. Et hæc sunt de quibus veritatem cōsiderare, philosophi est. Signum autem est, quod dialectici, & sophistæ eandem quidem quam philosophus habent figuram: sophistica enim, apparens solùm sapientia est. Dialectici quoque de omnibus disputantiens verò communione omnibus est.

Disputant autem de his scilicet, eò quòd hæc propria philosophiæ sunt. Circa idem enim genus, sophistica, & dialectica versatur cum philosophia. Verùm philosophia, ab hac quidem modo potestatis; ab illa verò electione vitæ differt. Dialectica autem est cōtrariua, de quibus philosophia est cognitiua: sophistica verò apparens, existens verò minimè. Item, contrariorum altera coordinatio priuatio est. & cuncta ad ens, & non ens, & vnum & pluralitatem reducuntur: vipura status quidem vnius est, motus verò, pluralitatis. Entia verò, & substantiam ferè cuncti concedunt ex contrariis compositam esse. Omnes etenim principia aiunt esse contraria: quidam, par & impar: quidam calidum & frigidum: quidam finem & infinitum: quidam amicitiam & contentionem. Cætera quoque omnia, videntur reducta ad vnum, & pluralitatem. Accipiatur autem reductio à nobis, in primis principia, & omnino, & quæ ab aliis, in hæc tanquam in genera cadunt. Manifestum itaque ex his etiam est, quòd vnius scientiæ est ens, prout ens est, speculari. Cuncta etenim, aut contraria, aut ex contrariis, principia verò contrariorum, vnum & pluralitas. Hæc autem, vnius scientiæ, siue secundum vnum dicantur, siue non, sicuti fortassis, & veritas se habet. Et quanuis vnum multipliciter dicatur, ad primum tamen cætera reducentur: & contraria, similiter. Ac propterea etsi ens, aut vnum non est vniuersale, & idem in omnibus, aut separatum, sicuti fortassis non est, hæc nihilo minus ad vnum, illa verò consequenter. Et propterea, non est geometræ, quid contrarium, aut perfectum, aut vnum, aut ens, aut idem, aut diuersum sit, speculari, nisi ex supposito. Quòd igitur vnius scientiæ, est ens, prout ens est, & quæ ei prout enti insunt, speculari manifestum est: & quod non solùm substantiarum, verùm etiam eorum, quæ substantiis insunt, eadem speculatiua est, ac illorum, quæ dicta sunt, & de priori & posteriori, & genere, & specie, & toto & parte, cæterisque huiuscemodi.

CAPVT III.

Dicendum autem est, vtrum vnius, an alterius scientiæ est, de iisce, quæ in mathematibus dignitates nominantur, & de substantia speculari, patet vtique quod vnius est, & eius, quæ philosophi est, consideratio. Omnibus enim entibus insunt, sed non alicui generi separatim

Universidad de Deusto
Biblioteca

ab aliis. Et omnes quidem vtuntur, quia entis, prout entis sunt. Vnumquodque autem genus, ens. At eatenus vtuntur, quatenus eis satis est. Hoc autem est, quantum illud continet genus, de quo demonstrationes afferunt. Quare cùm pateat, quòd prout entia sunt, eis insunt, (hoc nanque eis commune est) illius de his speculatio est, cuius est, de ente, prout ens est, cognoscere. Propter quòd nemo eorum, qui particulariter considerant, conatur aliquid de eis, siue quatenus vera, siue non, dicere. Nec enim geometra, nec arithmeticus, sed naturalium quidam meritò hoc facientes. Soli nanque putabant, & de tota natura, & de ente considerare. Cùm autem aliquis adhuc superior natura sit (natura nanque vnum quoddam entis genus est) illius vniuersalis, & circa primam substantiam speculatiui, profectò fuerit de his etiam consideratio. Est autem physica, sapientia quædam, sed non prima. Quæcunque verò, quidam eorum, qui de veritate dicunt, quonam modo oporteat admitti, dicere conantur, propter ignorantiam Analyticorum hoc faciunt. Oportet enim accedere, hæc edoctum, sed nequaquam, dum audiunt, quærere. Quòd itaque philosophi, & eius, qui de tota substantia, quoad natura fert, speculatur, etiam de principijs syllogisticis est considerare, manifestum est. Decet autem illum, qui maximè circa quodque genus cognoscat, vt dicere habeat certissima rei principia. Quare & illum, qui de entibus, prout entibus, omnium certissima: hic autem est philosophus. Omnium autem certissimum principium est, circa quod impossibile est mentiri. Notissimum etenim vt huiusmodi sit, necesse est, circa nanque illa, quæ non cognoscunt, decipiuntur omnes. Et non ex suppositione: quod enim necesse est illum habere, qui quoduis entium intelligat, hoc non est suppositio. Quod autem cognoscere illum necesse est, qui aliquid cognoscat, necesse est, vt veniat habens illud. Quod igitur tale principium, omnium certissimum est, patet. Quid autem illud sit, deinceps dicamus. Idem enim simul inesse, & non inesse eidem, & secundum idem, impossibile est. Et quæcunque alia annotaremus, sint ad logicas difficultates annotata. Hoc autem omnium et principiorum certissimum: habet etenim dictam annotationem. Impossibile nanque est, quempiam idem putare esse & non esse, quemadmodum quidã Heraclitus dicere arbitrantur. Non enim necesse est

quæcunque quis dicat, ea etiam putare. Quòd si non contingit inesse eidem contraria, (annotentur autem à nobis, etiam huic propositioni consueta,) contraria verò opinio opinioni est, quæ contradictionis est. Patet itaque, quòd impossibile est, simul eundem idem arbitrari esse, & non esse: simul etenim haberet opiniones contrarias, qui de ea re haberetur mendax. Quare omnes demonstrationes ad hanc vltimam opinionem reducunt. Natura etenim hæc exterarum quoque dignitatum omnium principium est.

CAPVT IIII.

SVnt autem quidam, qui (vt diximus) ipsi quoque dicunt contingere idem esse, & non esse, & ita arbitrari. Vtuntur autem hac oratione multi quoque eorũ, qui de natura tractant. Nos autem nunc accepimus, tanquã impossibile sit, de eodem simul esse, & nõ esse. Et per hoc monstrauimus, quòd certissimũ hoc cũctorum principium est. Conantur autem quidam, hoc quoque probare, propter ignorantiam. Est etenim ignorantia, nescire quorum oportet quærere demonstrationem, & quorum non: etenim omnino impossibile est, omnium esse demonstrationem. In infinitum nanque progrederetur: quare nec hoc modo esset demonstratio. Si autem aliquorum non oportet quærere demonstrationem, quod magis principium esse tale iudicarent, dicere non haberent. Est autem etiam de hoc demonstrare, redarguendo quod impossibile est, dummodo aliquid dicat, qui dubitat. Quòd si nihil, ridiculum est quærere rationem ad eum, qui nullius habet rationem, quatenus nullam habet rationem: similis nanque plantæ talis est, prout talis est. Demonstrare verò redarguendo, dico differre à demonstratione: quia qui demonstraret, videretur quærere quod à principio, cùm aliter huiusce causa sit redargutio, & non demonstratio. Principium verò ad hæc omnia nõ petere vt aut esse aliquid, aut non esse dicat: (hoc enim fortassis aliquis esse putaret, quod à principio petere) sed aliquid, significare & sibi ipsi, & alteri. Hoc enim necesse est, siquidem aliquid dicat. Quòd si non, tali nõ esset sermo, nec sibi ad se ipsum, nec ad alium. Si autẽ aliquis hoc concedat, erit demonstratio. Iã enim erit aliquid determinatum. Attamẽ nõ qui demõstrat, sed qui sustinet, causa est. Tollens enim orationem, sustinet orationẽ. Primò igitur manifestũ est, hoc ipsum verũ esse, quòd nomẽ

Universidad de Deusto
Biblioteca

esse hoc, aut non esse significat. Quare non
vtique omne ita, & non ita, se habet. Item,
si homo vnum significat, sit autem hoc
animal bipes: dico autem vnum significare hoc, si hoc est homo: si quid homo
sit, homo est homini esse. Nihil autem
differt, etiam si plura quis significare dicat, solùm sint determinata: imponeretur
etenim cuilibet orationi aliud nomen.
Dico autem vtputa, si non dicat hominem
vnum significare, sed multa, quorum v-
nius quidem vna oratio, animal bipes, sint
autem cæteræ quoque plures, determinatæ verò numero: imponeretur etenim
proprium nomen secundum quanque o-
rationem. Quòd si non poneretur, sed in-
finita significare dicat, manifestum est,
quòd non esset oratio. Non vnum enim
significare, nihil est significare. Nomini-
bus verò non significantibus perit ipsa re
vera disputatio. & ad inuicem, & ad se ip-
sum. Nihil enim intelligere contingit,
nihil vnum intelligentes. Quòd si contin-
git, imponetur nomen huic rei, vnum. No
men itaque vt à principio dictum est, sic
aliquid significans, & vnum significans.
Non potest igitur homini esse significare
id, quod nõ esse homini, si homo quidem
non solum de vno, sed etiam vnum signi-
ficat. Non enim hoc dicimus vnum signi-
ficare, quod de vno. Hoc enim modo, mu-
sicum etiam & album, & homò, vnum si-
gnificarent: quare vnum, omnia erunt: v-
niuoca nanque: & non erit esse, & non es-
se idem, nisi secundum æquiuocationem:
sicuti si quem nos hominem nominamus,
alij non hominem vocarent. Quod autem
dubitatur, non est hoc, si contingit simul
idem esse, & non esse hominem nomine,
sed re. Si autem non alterum significat ho
mo, & non homo, patet quòd nec non es-
se homini ab eo, quod est esse homini.
Quare homini esse, erit non homini esse:
vnum nanque erit. Hoc enim significat
vnum esse, sicuti tunica & vestis, si ratio
vna. Si autem erit vnum, vnum significat
homini esse, & non homini. Verùm non o-
stratum est, quòd aliud significat: necesse
est igitur si quid est verum dicere, quòd
homo sit animal esse bipes: hoc enim e-
rat, quod significabat homo: si autem
necesse est, non potest idem non esse a-
nimal bipes: Hoc nanque significat ipsum
necesse esse, quod impossibile est, non
esse hominem. Non contingit ergo simul
verum esse, idem dicere hominem esse,

A τὶ ἦ) ἢ μὴ ἦ) τοῦ. οὔτ' ἂν ἅπαντα οὕτως καὶ
οὐχ οὕτως ἔχοι. ἔτι, εἰ ἄνθρωπος σημαίνει τι,
ἔστω τοῦτο τὸ ζῷον δίπουν. λέγω δὲ τὸ τι ση-
μαίνειν τοῦτο· εἰ τοῦτ' ἔστι ἄνθρωπος, οὗ τὸ εἶ-
ναι ἀνθρώπῳ, τοῦτ' ἔσται τὸ ἀνθρώπῳ εἶναι. διαφέρει
δ' οὐδὲν, κἂν εἰ πλείω τις φαίη σημαίνειν,
μόνον δὲ ὡρισμένα. τοῦτο γὰρ ἂν ἦν ἑκάστῳ
λόγῳ ἕνεκα ὄνομα. λέγω δ' οἷον, εἰ μὴ ἅπερ
τὸν ἄνθρωπον τὶ σημαίνει, πολλὰ δὲ, ὧν εἷς
ὁ λόγος, τὸ ζῷον, τὸ δίπουν, εἴη δὲ, καὶ
ἕτερα πλείω, ὡρισμένα δὲ τὸ ἀριθμῷ. ἔστω
γὰρ ἂν ἴδιον ὄνομα, καθ' ἕκαστον τῶν λό-
γων· εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἄπειρα σημαίνειν
φαίη, φανερὸν ὅτι οὐκ ἂν εἴη λόγος. τὸ γὰρ μὴ ἕν
τι σημαίνειν, οὐδὲν σημαίνειν ἐστί. μὴ σημαι-
νόντων δὲ τῶν ὀνομάτων, ἀπόλωλε τὸ διαλέγε-
σθαι πρὸς ἀλλήλους, καὶ δὴ τῶν ἀλλήλοις
καὶ πρὸς αὐτόν. οὐδὲν γὰρ ἐνδέχεται νοεῖν, μὴ
νοοῦντα ἕν. εἰ δ' ἐνδέχεται, τοῦτο ἂν εἴη
ὄνομα τούτῳ τῷ σημαινομένῳ ἕν. ἔστω οὖν ἡμῖν ὅ τι
ἀλλήλοις καὶ κατ' ἀρχὴν) σημαῖνον τί τε
ἕν ὄνομα, καὶ σημαῖνον ἕν· οὐ δὴ ἐνδέχεται τὸ
ἀνθρώπῳ εἶναι σημαίνειν, ὅταν μὴ ἦ) ἄνθρω-
πον· εἰ τὸ ἄνθρωπος σημαίνει, μὴ μόνον κατ'
οἶδε, ἀλλὰ (καὶ μέλας φύσει) καὶ ἕν. οὐ γὰρ τοῦ
τὸ ἀκολουθῆν, τὸ ἕν σημαίνειν τὸ καθ' ἑνὸς ἑνὶ
εἶναι εἰ οὖν γε, κἂν τὸ μουσικὸν καὶ λευκὸν, καὶ
τὸ ἄνθρωπος ἓν σημαίνει, ἔσται ἓν ἅπαντα ἔσται
συνωνύμα γὰρ· καὶ οὐκ ἔσται ἦ) καὶ μὴ
ἦ) τὸ αὐτό, ἀλλ' ἕκαστ' ἡμῖν ὀνόματα· ὥσπερ
οὖν εἰ ἔν ἡμεῖς ἄνθρωπον καλοῦμεν, ἄλλοι δὲ μὴ
ἄνθρωπον καλοῦεν. τὸ δ' ἀπορούμενον, οὐ
τοῦτό ἐστι, εἰ ἐνδέχεται ἅμα τὸ αὐτὸ καὶ ἦ) καὶ
μὴ ἦ) ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ σημαινό-
μενον εἰ δὲ μὴ σημαίνει ἕτερον τὸ ἄνθρωπος, καὶ τὸ
μὴ ἄνθρωπος, δῆλον ὅτι καὶ τὸ μὴ ἦ) ἀνθρώ-
πῳ, τοῦ ἦ) ἀνθρώπῳ. οὐ γὰρ ἔσται τὸ ἀνθρώπῳ
εἶναι, τὸ μὴ ἦ) ἀνθρώπῳ. ἓν γὰρ ἔσται. τοῦτο γὰρ
σημαίνει τὸ ἦ) εἶναι, οἷον λευκὸν καὶ ἰμάτιον,
εἰ ὁ λόγος οὗτος. εἰ δὲ ἔσται ἕν, ἓν σημαίνει
τὸ ἀνθρώπῳ εἶναι, καὶ μὴ ἀνθρώπῳ· ἀλλ' ἐδείκνυτο
ὅτι ἕτερον σημαίνει. ἀνάγκη τοί-

καὶ μὴ ἦ) ἀνθρώπῳ, ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ
τὸ μὴ ἦ) ἀνθρώπῳ. τὸ γὰρ ἀνθρώπῳ εἶναι, καὶ τὸ
μὴ ἀνθρώπῳ εἶναι, ἕτερον σημαίνει εἴπερ καὶ τὸ
λευκὸν εἶναι, καὶ τὸ ἀνθρώπῳ εἶναι ἕτερον.
πολὺ γὰρ αἰτιάτερον ἐναντίον μᾶλλον· ὅτι ση-
μαίνει ἕτερον· εἰ δὲ καὶ τὸ λευκὸν φαίη τὸ
αὐτὸ καὶ τί σημαίνει, πάλιν τὸ αὐτὸ ἐροῦμεν,
ὅπερ καὶ πρότερον ἐλέχθη, ὅτι τὸ τὰ
πολλὰ δῶ, καὶ ὁ μένων τὸ ἀπόκειμενον. εἰ
δὲ μὴ ἐνδέχεται τοῦτο, συμβήσεται τὸ λεχθὲν,
ἀδιόριστον τοῖς ἐρωτῶσιν. καὶ δὴ οὐκ ἀνα-
γκαῖον τοῖς ἁπλῶς, καὶ τοῖς διπλῶς
ἐρωτῶσι, τὸν διορίσαντα τὸ ἐρωτώμενον οὐδὲν
γὰρ κωλύει ἦ) τὸν τὶ, καὶ ἄνθρωπον καὶ
λευκόν, καὶ ἄλλα μυρία τὸ πλῆθος· ἀλλ' ὅμως
ἐρωτηθέντα, εἰ ἀληθὲς εἰπεῖν ἄνθρωπον τοῦ-
τον ἦ), οὐ, διοριστέον τὸ ἓν σημαῖνον, καὶ τὸ
φανερὸν ὅτι, ὅτι καὶ λευκὸν καὶ μέγα. καὶ γὰρ
ἀδιόριστον, ἄπειρον ὄντα τὰ συμβεβηκότα
διελθεῖν. ἢ οὐδ' ἅπαντα διελθεῖν, οὐ μηδὲν.
ὁμοίως τοίνυν εἰ κἀμυριάκις ἔσται τὸ αὐτὸ
ἄνθρωπος, καὶ οὐκ ἄνθρωπος, οὐ προσεπιφερό-
μενον τῷ ἐρωτηθέντι εἶναι ἄνθρωπος, ὅτι ἔστι ἄμα
καὶ οὐκ ἄνθρωπος· καὶ μὴ πολλὰ ὄντα συμ-
βεβηκότα προσυπαρχόντα, ὅτου ἔστι τὰ μὴ ἔστιν.
ἐὰν δ' τοῦτο ποιῶ, οὐ ἀναιροῦσι τὴν οὐσίαν· οἱ δ' ἀναγ-
κάζουσι οἱ οὕτω λέγοντες εἶναι, καὶ τὸ τί ἦν εἶναι.
πάντα γὰρ ἀνάγκη συμβεβηκέναι φάναι τῇ οὐσίᾳ
καὶ τὸ, ὅπερ ἐστὶ τὸ ἄνθρωπος, καὶ ζῷον εἶναι, καὶ
μὴ εἶναι· εἰ γὰρ ἔστι τι ὃ ἐστὶ ἄνθρωπος εἶναι, τοῦτο οὐκ
ἔσται μὴ ἄνθρωπος εἶναι, ἢ μὴ εἶναι ἀνθρώπῳ
καὶ τοῦ τοιούτου τὴν ἀπόφασιν τοῦτο. ἐν γὰρ ἐδόκει ση-
μαίνειν, καὶ ἦν τῶν τινὸς οὐσία. τὸ δ' οὐσίας σημαίνειν ἐστὶ τὸ μὴ ἄλλο τι τὸ ἦ) αὐ-
τό. εἰ δ' ἔσται αὐτὸ καὶ τὸ ὅπερ ἀνθρώπῳ
εἶναι, ὅπερ μὴ ἀνθρώπῳ εἶναι, ἢ ὅπερ μὴ εἶναι ἀν-
θρώπῳ, ἀλλ' ἔσται οὐκ ἀναγκαῖον οὐδὲ τοῦ-
τον λέγειν, ὅτι οὐδενὸς τοιούτου εἴδους καὶ
οὐσίας, καὶ ἀνοῦ ὑποκειμένου φανερὸν λόγος, ἀλλὰ πάντα τὰ συμβεβη-
κότα· τοῦτο γὰρ διάφορον οὐσίας καὶ τὸ συμβε-
βηκός. τὸ γὰρ λευκὸν τοῦ ἀνθρώπου συμβεβη-
κός. τὸ γὰρ λευκὸν τὸ ἀνθρώπῳ συμβεβηκέναι,
ὅτι ἔστι μὴ λευκὸν, ἀλλ' οὐχ ὅπερ λευκόν. εἰ
δὲ πάντα τὰ συμβεβηκότα λέγοιτο, οὐδὲν ἔσται
παρὰ τὸ κατηγορούμενον. εἰ δ' ἀεὶ τὸ συμ-
βεβηκὸς κατ' ὑποκειμένου τινὸς σημαίνει τῶν κατηγοριῶν, ἀνάγκη ἄρα εἰς ἄπειρον ἰέναι· ἀλλ'
οὐδὲ τοῦ συμπλέκεσθαι δυνατὸν· τὸ γὰρ συμβεβηκὸς, οὐ συμβεβηκότι συμβεβηκὸς,

A & non esse hominem. Eadem ratio est
& de non esse hominem. Homini nanque
D lis substantia esset, hoc pati posse profectò videretur. Ratione itaque prior sit. Non tamen omnia quęcunq. ratione priora, substantia quoque priora sunt. Substantiā nanque priora, quæcunque separata, excedunt essentia. Ratione verò iis, quorum rationes ex rationibus: hæc autem non sunt simul. Si enim passiones non sunt præter substantias, veluti quoddam motum, vel album, homine albo secundum rationem albedo prior est, non secūdum

E substantiam. Non enim potest separata esse, verùm semper vnà cum toto est: dico autem, totum hominem album. Quare manifestum est, neque prius esse, quod ex ablatione est, neque posterius, quod ex appositione est: ex appositione nanque, ipsa albedine albus homo dicitur. Quòd igitur nec substantiæ sint magis, quàm corpora, nec essentia sensibilibus priora sint, verùm sola ratione, nec vsquam esse

F separata possibile esse, satis dictum est. Cùm verò nec in sensibilibus ea esse contingat, manifestum est, quòd aut omnino hoc non simpliciter sunt. Multipliciter

CAPVT III.

Qvemadmodum enim vniuersalia in mathematicis non sunt de separatis præter magnitudines, numerósque, verùm de his, quanquam non quatenus talia, vt magnitudinem habeant, aut diuisibilia sint, patet quòd etiam de magnitudinibus sensibilibus rationes, & demonstrationes fient, verùm non prout sensibiles, sed prout tales sunt. Quemadmodum enim prout mota solùm multæ rationes sunt, absque eo, quòd quid sit vnumquodque eorum, ac eis accidentium consideretur, & non est necesse propterea idem aliquid motum à sensibilibus separatum esse, vel in eis aliquam naturam segregatam esse: ita de motis etiam erunt rationes, atque scientiæ, non tamen quatenus mota, verùm quatenus corpora tantum: & rursus prout superficies tantum, & prout longitudines tantum, & quatenus diuisibilia & quatenus indiuisibilia situm habentia, & prout indiuisibilia tantum. Quare cùm simpliciter verum sit dicere, non solùm separabilia, sed & non separabilia esse veluti mota, & mathematica: quia (etiam qualia dicunt) verum est simpliciter dicere, & talia esse: & quemadmodum cæteras scientias simpliciter verum est dicere huius esse, non eius, quod ei accidat: veluti albi (si salubre album sit) verùm prout salubre est, ac illius, cuius vnaquæque est, si salubris salubre, si verò hominis prout homo est: ita & geometriam: non si accidit sensibilia esse quorum est, non est autem eorum, prout sensibilia sunt, non erunt sensibilium mathematicæ scientiæ: non profectò propter hæc aliorum separatorum erunt. Multa verò per se rebus accidunt, prout vnumquodque talium est: quoniam & quatenus fœmininum animal, & quatenus masculinum, propriæ sunt passiones, etsi non est quicquam fœmininum, neque masculinum separatorum animalium. Quare etiam prout longitudines solùm, & prout superficies, & quantò de prioribus ratione, ac simplicioribus, tantò magis id certitudinem habet. Hoc autem simplex est, quare absque magnitudine magis, quàm cum magnitudine, & maximè absque motu. Quod si habet motum, primum maximè: siquidem hic simplicissimus est, & huius qui regularis est. Eadem ratio de harmonica, & perspectiua est: neutra nanque prout visus, vel prout vox, speculatur, verùm prout lineæ, & numeri. Adhæc, propriæ illorum passiones sunt

a quoque similiter.

Κεφάλαιον γ.

Ὥσπερ γὰρ καὶ τὰ καθόλου ἐν τοῖς μαθήμασιν οὐ περὶ κεχωρισμένων ἐστὶ παρὰ τὰ μεγέθη καὶ τοὺς ἀριθμοὺς, ἀλλὰ περὶ τούτων μὲν, οὐχ ᾗ δὲ τοιαῦτα οἷα ἔχειν μέγεθος, ἢ εἶναι διαιρετὰ, δῆλον ὅτι ἐνδέχεται καὶ περὶ τῶν αἰσθητῶν μεγεθῶν εἶναι καὶ λόγους καὶ ἀποδείξεις, μὴ ᾗ δὲ αἰσθητὰ, ἀλλ' ᾗ τοιαδί. ὥσπερ γὰρ καὶ ᾗ κινούμενα μόνον πολλοὶ λόγοι εἰσὶ, χωρὶς τοῦ τί ἕκαστόν ἐστι τῶν τοιούτων, καὶ τῶν συμβεβηκότων αὐτοῖς, καὶ οὐκ ἀνάγκη διὰ ταῦτα ἢ κεχωρισμένον τι εἶναι κινούμενον τῶν αἰσθητῶν, ἢ ἐν τούτοις τινὰ φύσιν εἶναι ἀφωρισμένην· οὕτω καὶ ἐπὶ τῶν κινουμένων ἔσονται λόγοι καὶ ἐπιστῆμαι, οὐχ ᾗ κινούμενα δὲ, ἀλλ' ᾗ σώματα μόνον· καὶ πάλιν ᾗ ἐπίπεδα μόνον, καὶ ᾗ μήκη μόνον, καὶ ᾗ διαιρετὰ, καὶ ᾗ ἀδιαίρετα ἔχοντα δὲ θέσιν, καὶ ᾗ ἀδιαίρετα μόνον. ὥστ' ἐπεὶ ἁπλῶς λέγειν ἀληθὲς μὴ μόνον τὰ χωριστὰ εἶναι, ἀλλὰ καὶ τὰ μὴ χωριστὰ, οἷον κινούμενα εἶναι, καὶ τὰ μαθηματικὰ ὅτι ἔστιν ἁπλῶς ἀληθὲς εἰπεῖν, καὶ τοιαῦτά γε οἷα λέγουσι· καὶ ὥσπερ καὶ τὰς ἄλλας ἐπιστήμας ἁπλῶς ἀληθὲς εἰπεῖν, τούτου εἶναι, οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν· ἡ δ' ἔστιν ὑγιεινοῦ· ἀλλ' ἐκείνου οὗ ἐστὶν ἑκάστη, εἰ ᾗ ὑγιεινὸν, ὑγιεινοῦ, εἰ δ' ᾗ ἄνθρωπος, ἀνθρώπου· οὕτω καὶ τὴν γεωμετρίαν, οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ὧν ἐστὶ, μὴ ἔστι δὲ ᾗ αἰσθητὰ, οὐ τῶν αἰσθητῶν ἔσονται αἱ μαθηματικαὶ ἐπιστῆμαι· οὐ μέντοι οὐδὲ παρὰ ταῦτα ἄλλων κεχωρισμένων. πολλὰ δὲ συμβέβηκε καθ' αὑτὰ τοῖς πράγμασιν, ᾗ ἕκαστον ὑπάρχει τῶν τοιούτων, ἐπεὶ καὶ ᾗ θῆλυ τὸ ζῷον, καὶ ᾗ ἄρρεν, ἴδια πάθη ἐστί. καίτοι οὐκ ἔστι τι θῆλυ οὐδ' ἄρρεν κεχωρισμένον τῶν ζῴων. ὥστε καὶ ᾗ μήκη μόνον, καὶ ᾗ ἐπίπεδα. καὶ ὅσῳ δὴ ἂν περὶ προτέρων τῷ λόγῳ καὶ ἁπλουστέρων, τοσούτῳ μᾶλλον ἔχει τὸ ἀκριβές. τοῦτο δὲ τὸ ἁπλοῦν ἐστίν. ὥστε ἄνευ τε μεγέθους μᾶλλον, ἢ μετὰ μεγέθους, καὶ μάλιστα ἄνευ κινήσεως. ἐὰν δὲ κίνησιν, μάλιστα τὴν πρώτην· ἁπλουστάτη γὰρ αὕτη, καὶ ταύτης ἡ ὁμαλή. ὁ δ' αὐτὸς λόγος καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· οὐδετέρα γὰρ ᾗ ὄψις, ἢ ᾗ φωνὴ, θεωρεῖ, ἀλλ' ᾗ γραμμαὶ καὶ ἀριθμοί. οἰκεῖα μέντοι ταῦτα πάθη ἐκείνων. καὶ ἡ μηχανικὴ δὲ ὡσαύτως.

ὥστ' εἴ τις θέμενος κεχωρισμένα τῶν συμβεβηκότων σκοπεῖ τι περὶ τούτων ᾗ τοιαῦτα, οὐθὲν διὰ τοῦτο ψεῦδος ψεύσεται, ὥσπερ οὐδ' ὅταν ἐν τῇ γῇ γράφῃ, καὶ τὴν ποδιαίαν φῇ μὴ ποδιαίαν· οὐ γὰρ ἐν ταῖς προτάσεσι τὸ ψεῦδος. ἄριστα δ' ἂν οὕτως θεωρηθείη ἕκαστον, εἴ τις τὸ μὴ κεχωρισμένον θείη χωρίσας, ὅπερ ὁ ἀριθμητικὸς ποιεῖ καὶ ὁ γεωμέτρης. ἓν μὲν γὰρ καὶ ἀδιαίρετον ὁ ἄνθρωπος ᾗ ἄνθρωπος· ὁ δ' ἔθετο ἓν ἀδιαίρετον, εἶτ' ἐθεώρησεν, εἴ τι τῷ ἀνθρώπῳ συμβέβηκεν ᾗ ἀδιαίρετος. ὁ δὲ γεωμέτρης, οὔθ' ᾗ ἄνθρωπος, οὔθ' ᾗ ἀδιαίρετος, ἀλλ' ᾗ στερεόν. ἃ γὰρ κἂν εἰ μή που ἦν ἀδιαίρετος, ὑπῆρχεν αὐτῷ, δῆλον ὅτι καὶ ἄνευ τούτων ἐνδέχεται αὐτῷ ὑπάρχειν τὸ δυνατόν. ὥστε διὰ τοῦτο ὀρθῶς λέγουσιν οἱ γεωμέτραι, καὶ περὶ ὄντων διαλέγονται, καὶ ὄντα ἐστί. διττὸν γὰρ τὸ ὂν, τὸ μὲν ἐντελεχείᾳ, τὸ δ' ὑλικῶς. ἐπεὶ δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἕτερον, τὸ μὲν γὰρ ἀεὶ ἐν πράξει, τὸ δὲ καλὸν καὶ ἐν τοῖς ἀκινήτοις, οἱ φάσκοντες οὐδὲν λέγειν τὰς μαθηματικὰς ἐπιστήμας περὶ καλοῦ ἢ ἀγαθοῦ, ψεύδονται. λέγουσι γὰρ καὶ δεικνύουσι μάλιστα. οὐ γὰρ εἰ μὴ ὀνομάζουσι, τὰ δ' ἔργα καὶ τοὺς λόγους δεικνύουσιν, οὐ λέγουσι περὶ αὐτῶν. τοῦ δὲ καλοῦ μέγιστα εἴδη, τάξις, καὶ συμμετρία, καὶ τὸ ὡρισμένον, ἃ μάλιστα δεικνύουσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι. καὶ ἐπεί γε πολλῶν αἴτια φαίνεται ταῦτα (λέγω δ' οἷον ἡ τάξις καὶ τὸ ὡρισμένον) δῆλον ὅτι λέγοιεν ἂν καὶ τὴν τοιαύτην αἰτίαν, τὴν ὡς τὸ καλὸν αἴτιον ἐστί πως. μᾶλλον δὲ γνωρίμως ἐν ἄλλοις περὶ αὐτῶν ἐροῦμεν. περὶ μὲν οὖν τῶν μαθηματικῶν, ὅτι τε ὄντα ἐστὶ, καὶ πῶς ὄντα, καὶ πῶς πρότερα, καὶ πῶς οὐ πρότερα, τοσαῦτα εἰρήσθω.

Κεφάλαιον δ.

Περὶ δὲ τῶν ἰδεῶν, πρῶτον αὐτὴν τὴν κατὰ τὴν ἰδέαν δόξαν ἐπισκεπτέον, μηθὲν συνάπτοντας πρὸς τὴν τῶν ἀριθμῶν φύσιν, ἀλλ' ὡς ὑπέλαβον ἐξ ἀρχῆς οἱ πρῶτοι τὰς ἰδέας φήσαντες εἶναι. συνέβη δ' ἡ περὶ τῶν εἰδῶν δόξα τοῖς εἰποῦσι, διὰ τὸ πεισθῆναι περὶ τῆς ἀληθείας τοῖς Ἡρακλειτείοις λόγοις, ὡς πάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων. ὥστ' εἴπερ ἐπιστήμη τινὸς ἔσται καὶ φρόνησις, ἑτέρας δεῖν τινὰς φύσεις εἶναι παρὰ τὰς αἰσθητὰς μενούσας· οὐ γὰρ εἶναι τῶν ῥεόντων ἐπιστήμην. Σωκράτους δὲ περὶ τὰς ἠθικὰς ἀρετὰς πραγ-

Quare si quis ab accidentibus separet, ac de eis aliquid, quatenus talia sunt, consideret minimè propter hoc mentietur: quemadmodum nec cùm in terra describat, ac eam, quæ pedalis non est, pedalem dicat. Non enim in propositionibus falsitas inest. Optimè verò ita vnumquodque profectò considerabitur, si quis separans ponat, quod non est separatum: quod arithmeticus geometráque facit. Vnum enim & indiuisum est homo, prout homo. Ille verò posuit vnum indiuisum, deinde speculatus est, si quid homini prout indiuisus est, accidit. At geometra nec prout homo, nec prout indiuisus, verùm prout solida: quæ certè (etiam tametsi nullibi erat indiuisus) inerant ei: patet quòd etiam absque his contingit: ei posse inesse. Quare propter hoc non malè geometræ dicunt, & de entibus disserunt: & entia sunt. Duplex enim est ens, hoc quidem actu, hoc verò materia. Cùm autem bonum, & pulchrum differant (siquidem illud semper in operatione, pulchrum verò etiam in immobilibus est) qui dicunt mathematicas scientias nihil de bono vel pulchro dicere falsum dicunt. Dicunt etenim, & maximè ostendunt. Nam etsi non nominant, cùm tamen opera, & rationes ostendunt, nónne dicunt de eis? Pulchri nanque maximè species sunt, ordo, commensuratio, & definitum, quæ maximè ostendunt mathematicæ scientiæ. Et cùm hæc multorum causæ esse appareant (dico autem veluti ordo & definitum) patet quòd etiam similem causam, quæ vt boni causa est, quodam modo dicant. Magis autem apertè in aliis dicemus. De mathematicis igitur, & quòd entia sunt & quomodo entia, quoque modo priora, & quomodo non priora, ot edicta sint.

CAPVT IIII.

De ideis autem, primò ipsam, quæ de Idea est, opinionem considerandum, ad numerorum naturam nihil consortij habentem, sed quemadmodum opinati sunt à principio qui primi ideas esse dixere. Accidit verò de ideis opinio illis, qui dixerunt propter ea, quòd de veritate adhæserant Heracliti rationibus, tanquam omnia sensibilia semper fluant. Quare si qua cuiuspiam scientia, prudentiáque erit oportet alias quasdam naturas permanentes esse, præter sensibiles: non enim fluentium esse scientiam. Cùm verò Socrates circa morales virtutes vaca-

Universidad de Deusto
Biblioteca

tet, & de hisvniuersaliter definite primus quæreret (naturalia enim parumper Democritus tetigerat solum, & aliquatenus calidum & frigidum definierat. Pythagorici etiam prius de quibusdã paucis, quorum rationes ad numeros reducebant, veluti quid est tempus, aut instans aut nuptiæ; ille sanè rationabiliter quærebat Ipsum quid est? Syllogizare enim quærebat. Syllogismorum vero principiũ est ipsum quid est. Nondum enim tunc erat vis dialectica, vnde & possent absque eo ipso quid est, contraria considerare, vtrum contrariorum eadem scientia esset. Duo nanque sunt, quæ Socrati iure proprio attribuat quispiam, inductionis orationes, & definitionem vniuersalis. Hæc enim ambo circa principium scientiæ sunt. At Socrates quidem vniuersalia non ponebat separata nec definitiones: quidam verò separarunt, ac talia, entium ideas appellarunt. Quare ferè accidebat eis eadem ratione, omnium, quæ vniuersaliter dicuntur, ideas esse. At simile est, sicuti si quis numerare volens, cùm quidem pauciora existant, arbitretur non posse: cum verò plura facias, numeret. Plures etenim (vt ita dicam) species sunt quàm sensibilia particularia: de quibus cùm causas quærerent, ex his ad illas processerunt. Nam & secundum vnumquodque eiusdem nominis sunt & præter substantias: exterorum quoque in multis est vnum, & in his, & sempiternis. Cæterùm quibus modis ostenditur, quòd species sunt, secundum nullum horum apparet. Ex quibusdam nãque non est necesse fieri syllogismum: è quibusdam verò, etiam quorum non sunt, horum species fiunt. Secundum nanque rationes, quæ ex scientiis, species erunt omnium quorum scientiæ sunt: secundum verò vnum in multis, etiam negationum: & secundum quod intelligimus aliquid eius, quod corruptum est, etiam corruptibilium: siquidem horum aliqua conceptio est. Insuper quædam rationum, eorum etiam, quæ ad aliquid sunt (quippe cùm exactissimæ sint) ideas faciunt, quorum non dicimus esse per se genus: quædam etiam tertium hominem dicunt. Et simpliciter hæ de speciebus rationes, illa perimunt, quæ magis, quàm ipsas ideas esse volunt, qui species dicunt. Accidit enim non esse prius dualitatem, sed numerum, & eo, quod est aliquid, etiam id, quod per se est: & cuncta quæcunque cum quibusdam sequerentur de ideis opiniones, aduersa facere principi-

A γκαιοτερον, καὶ οὐκ ἐπὶ τούτων ὁρίζεσθαι καθόλου ζητοῦντες σφόδρα (ἔτι μὴν καὶ τὰ φυσικὰ ὀλίγα μικρὰ διεκείετο ἅπαξ μόνον, καὶ περί τινος τὸ θερμὸν καὶ τὸ ψυχρόν· οἱ δὲ Πυθαγόρειοι φύσει πρῶτον περὶ τινων ὀλίγων, ὧν τοῦ λόγου εἰς τοὺς ἀριθμοὺς ἀπῆγον, οἷον τί ἐστι καιρός, ἢ τὸ διάστημα, ἢ γάμος· ἐζήτουν δὲ λόγον ἔχειν, τί τὸ τί ἐστι· συλλογίζεσθαι γὰρ ἐζήτουν. ἀρχὴ δὲ τῷ συλλογισμῷ, τὸ τί ἐστι. οὐδὲ γὰρ ἦν πω τότε λόγος, οὗτος δυνατὸς καὶ χωρὶς τοῦ τί ἐστι τἀναντία διανοεῖσθαι, καὶ τὸν αὐτὸν εἰ καὶ αὐτὸ ἐπιστήμη. δύο γὰρ ἐστι, ἃ τῷ Σωκράτει τις ἂν ἀπόδοιεν, λόγους τε ἐπαγωγικοὺς, καὶ τὸ ὁρίζεσθαι καθόλου· περὶ ταῦτα γὰρ ἔστι σοφὸς ὁ Σωκράτης· ἀλλ' οὐ μὴν Σωκράτης τὰ καθόλου, οὐδὲ χωρίζει ἔτι τῶν, ἀλλ' τοῦ ὁρισμοῦ οἱ δ' ἐχωρίσαν, καὶ τὰ τοιαῦτα ἔφασαν εἶναι ἰδέας φωνὴν ἐπωνυμίαν. ὥστε συνέβαινεν αὐτοῖς παθεῖν τὴν αὐτὴν λόγῳ, ὅσοι ἰδέας εἶναι τὴν καθόλου λεγομένων· καὶ τοιαῦτα πλείστον, οἷς περ οὐδὲ τις ἐπιθυμεῖ ἐστι μὴ δυάδα εἶναι, πλείω δὲ ποιοῦσι, ἀριθμεῖν πλείω γὰρ ἔστι τὰ καθ' ἕκαστα αἰσθητὰ ἢ εἴδη, οἷς ἐπιζητοῦντες τὰς αἰτίας, ἐπὶ τούτων ἦλθον τῶν ἰδεῶν. καθ' ἕκαστόν τε γὰρ ὁμώνυμόν ἐστι καὶ παρὰ τὰς οὐσίας, καὶ τὰ ἄλλα ἐνεστὶ ἐν πολλοῖς καὶ ἐν τοῖς ἀϊδίοις, καὶ ἐν τοῖς ἀϊδίοις. ἔτι καθ' οἷς ἔστιν ὁμώνυμα ὧν ἐστι τὰ εἴδη, κατ' οὐδὲν φαίνεται τούτων ἀξίωμα· εἰ γὰρ ἐκ μὴ ἐνόντων γίνεται συλλογισμὸς ἐξ ὧν εἰσὶ δὲ καὶ οὐκ ἔνεστιν, τούτων εἶδος γίνεται καὶ κατά τι γὰρ ἔστι λόγος τοῦ ἐν τῇ ὑπεστιμένῃ, ἔστι εἶδος τοῦ ἐν τῇ ὑπεστιμένῃ, ἔστι καὶ τῷ ἐν πολλοῖς, καὶ τῷ ἀπόφασιν ποιεῖν τι τοῦ φθαρτοῦ, τῷ φθαρτῷ. φάσις γὰρ τι τούτων ἔστι. ἔτι δὲ εἰ ἀκριβέστατοι τῷ λόγῳ, εἰ μὴ τῷ ὄντι τοιοῦτοι εἶναι, ἃ φασὶ εἶναι ἰδέας, ἃ οὐ φασὶν εἶναι, καθ' αὐτὸ τὸ εἶναι· εἰ δὲ τὸν πρῶτον ἀδύνατον λόγον, ὅλως τε ἀναιρεῖται εἰ οὐκ ἔστι τὰ εἴδη λόγῳ,

B

C

D

E

secundum

secundum quam dicunt ideas esse, non solum substantiarum, verum etiam multorum aliorum species erunt: etenim vnus conceptus, non solùm de substantiis, sed de non substantiis etiam est. Et scientiæ non solum substantiæ erunt: & alia id genus accidunt infinita. Secundum verò necessitatem & opiniones de eis, si species participabiles sunt, necesse est substantiarum solùm esse ideas. Non enim secundum accidens participatio earum est, sed earum vnaquaque participare est, quatenus dicitur non de subiecto. Dico autem, vt si quid ipso duplo participat, hoc etiam æterno participat, sed secundum accidens. Accidit enim duplo æternum esse: quare species, substantia erunt. Hæc autem hic, & ibi substantiam significant. An aliquid erit dicere esse præter hæc, ipsum quid vnum in multis: etsi eadem quidem species est ideatum, & participantium, erit aliquid commune. Cur enim magis de corruptibilibus dualitatibus, & pluribus quidem, sed æternis, dualitas vnum, & idem fit, quàm de hac, & aliqua? Quòd si non est eadem species, æquiuoca erit profecto, & simile, ac si quis Callias, & lignum homines appellarit, nullam inspiciens communicationem eorum. Si autem cætera quidem, communes videlicet rationes speciebus conuenire ponemus, veluti ad ipsum circulum figuram planam, & cæteras rationis partes, & quod ei, cuius est, apponatur, considerandum est, ne omnino vanum hoc fit. Cui nanque apponetur medio, an plano, in conclusi? Omnia enim, quæ in substantia sunt, ideæ sunt, vt animal, & bipes. Item patet, quòd ipsum quoque necesse est quid esse, veluti planum naturam quandam, quæ omnibus speciebus vt genus inerit.

A

B

C

D

E

F

CAPVT V.

POtissimum vero quispiam dubitabit, quidnam species conferant, aut sempiternis sensibilium, aut illis, quæ fiunt, & corrumpuntur: nec enim motus, nec alicuius transmutationis, eis ipsis causæ sunt. At nec ad scientiam aliorum prosunt: nec enim horum illæ substantiæ sunt: in his etenim essent. Nec adesse: quippe cùm non insint participantibus. Ita etenim fortassis causæ putabuntur esse, vt album mistum albo. Sed ista ratio facilè redargui potest, quam Anaxagoras prior, Eudoxus verò posterior dubitans & alii quidam dixerunt: facile enim est multa, & impossibilia ad hanc opinionem

Universidad de Deusto Biblioteca

cōgerere. Atnec ex speciebus cætera sunt secundum vllum illorum modorum, qui dici solent. Dicere verò exemplaria, eas esse, & cæteras eis participare, vana, & figmenta poetica est dicere. Quid enim est, quod agit, ad ideas inspiciens? Possibile enim est, & esse, & fieri quodcunque etiam non ex imagine. Quare & existente Socrate, & non existente, fiet vtique quale Socrates est. Similiter etiam dilucidum, si Socrates sempiternus esset, & eiusdem erunt plura exemplaria: quare & species, vtputa hominis, animal, & bipes, simul autem & idealis homo. Item, non solùm sensibilium exemplaria species erunt, verùm etiam ipsarum: vtputa genus specierum, quæ vt generis sunt: quare idem erit, exemplar, & imago. Item, videretur impossibile, esse separatam substãtiam, & id, cuius substantia. Quamobrem quomodo ideæ, cùm rerum substantiæ sint, separatæ erunt? In Phædone verò hoc modo dicitur, quod tum ipsius esse, tum ipsius fieri, species causæ sunt. Attamen quamuis species existant, non fiunt, si non sit, qui moueat: & multa alia fiunt, vt domus, & annulus, quorum non dicunt species esse. Quare patet, cætera quoque, quorum aiunt ideas esse, posse & esse, & fieri propter tales causas, quales eorum sunt, quæ nunc dicta sunt, & non propter species. Sed de ideis quidem, & hoc modo, & per alias tum magis dialecticas, tum certiores rationes, multa iam consideratis similia congregari possunt.

CAPVT VI.

CVm autem de his determinatum sit, decet rursus, quæ circa numeros illis accidunt, qui eos substantias separatas dicunt, ac entium causas primas, speculari. Necesse verò est, si numerus quædam natura est, nec est alia quædam eius substãtia, sed hoc ipsum, vt quidam aiunt, aut quoddam eius primũ esse, quoddam consequens, quod sit secundum, quodque specie diuersum, & hoc aut in vnitatibus confestim existit, & est quæcunque vnitas cuique vnitati incomparabilis: aut sunt confestim consequenter omnes & quæcunque quibuscunque combinabiles: qualem aiunt mathematicum numerum esse (in mathematico enim nulla vnitas alia ab alia differt) aut quasdam cõbinabiles, quasdam non: velut si post vnũ est prima dualitas, deinde trinitas, & sic alius numerus. Sũt autẽ vnitates in vnoquoq. numero veluti quæ in prima dualitate sunt, inuicem cõbinabiles, & quæ in prima trinitate sunt,

τοιαύτην δόξαν. ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν εἰδῶν ἐστὶ τἆλλα κατ' οὐθένα τρόπον τῶν εἰωθότων λέγεσθαι. τὸ δὲ λέγειν παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα, κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεταί τε καὶ εἶναι καὶ γίγνεσθαι ὁποιονοῦν, καὶ μὴ εἰκαζόμενον. ὥστε καὶ ὄντος Σωκράτους, καὶ μὴ ὄντος, γένοιτ' ἂν οἷος Σωκράτης. ὁμοίως δὲ δῆλον ὅτι κἂν εἰ ἦν ὁ Σωκράτης ἀΐδιος, ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥστε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον, καὶ τὸ δίπουν, ἅμα δὲ καὶ αὐτοάνθρωπος. ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν, οἷον τὸ γένος τῶν ὡς γένους εἰδῶν. ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα, καὶ εἰκών. ἔτι δόξειεν ἂν ἀδύνατον χωρὶς εἶναι τὴν οὐσίαν, καὶ οὗ ἡ οὐσία. ὥστε πῶς ἂν αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς εἶεν; ἐν δὲ τῷ Φαίδωνι οὕτω λέγεται, ὡς καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐστίν. καίτοι τῶν εἰδῶν ὄντων, ὅμως οὐ γίγνεται, ἂν μὴ ᾖ τὸ κινῆσον. καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν οὔ φασιν εἶναι εἴδη. ὥστε δῆλον ὅτι ἐνδέχεται κἀκεῖνα ὧν φασὶν ἰδέας εἶναι, καὶ εἶναι καὶ γίγνεσθαι διὰ τοιαύτας αἰτίας, οἵας καὶ τὰ ῥηθέντα νῦν, ἀλλ' οὐ διὰ τὰ εἴδη. ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν, καὶ τοῦτον τὸν τρόπον, καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις.

Κεφάλαιον ϛ'.

ΕΠεὶ δὲ διώρισται περὶ τούτων, καλῶς ἔχει πάλιν θεωρῆσαι τὰ περὶ τοὺς ἀριθμοὺς συμβαίνοντα τοῖς λέγουσιν οὐσίας αὐτοὺς εἶναι χωριστάς, καὶ τῶν ὄντων αἰτίας πρώτας. ἀνάγκη δ' εἴπερ ἐστὶν ὁ ἀριθμὸς φύσις τις, καὶ μὴ ἄλλη τις αὐτοῦ ἐστιν ἡ οὐσία, ἀλλὰ τοῦτ' αὐτό, ὥσπερ φασί τινες, ἤτοι εἶναι τὸ μὲν πρῶτόν τι αὐτοῦ, τὸ δ' ἐχόμενον, ἕτερον ὂν τῷ εἴδει ἕκαστον, καὶ τοῦτο ἢ ἐπὶ τῶν μονάδων εὐθὺς ὑπάρχει, καὶ ἔστιν ἀσύμβλητος ὁποιαοῦν μονὰς ὁποιᾳοῦν μονάδι, ἢ εὐθὺς ἐφεξῆς πᾶσαι καὶ συμβληταὶ ὁποιαιοῦν ὁποιαισοῦν, οἷον λέγουσιν εἶναι τὸν μαθηματικὸν ἀριθμόν· ἐν γὰρ τῷ μαθηματικῷ οὐδὲν διαφέρει οὐδεμία μονὰς ἑτέρα ἑτέρας· ἢ τὰς μὲν συμβλητὰς, τὰς δὲ μή. οἷον εἰ ἔστι μετὰ τὸ ἓν πρώτη ἡ δυάς, ἔπειτα ἡ τριάς,

καὶ οὕτω δὴ ὁ ἄλλος ἀριθμός. εἰσὶ δὲ συμβληταὶ αἱ ἐν ἑκάστῳ ἀριθμῷ μονάδες, οἷον αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ αὐταῖς, καὶ αἱ ἐν τῇ τριάδι τῇ πρώτῃ αὐταῖς, καὶ οὕτω δὴ ἐπὶ τῶν ἄλλων ἀριθμῶν. αἱ δ' ἐν τῇ δυάδι αὐτῇ, πρὸς τὰς ἐν τῇ τριάδι αὐτῇ, ἀσύμβλητοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐφεξῆς ἀριθμῶν. διὸ καὶ ὁ μὲν μαθηματικὸς ἀριθμεῖται μετὰ τὸ ἓν δύο, πρὸς τῷ ἔμπροσθεν ἑνὶ ἄλλο ἕν· καὶ τὰ τρία, πρὸς τοῖς δυσὶ τούτοις ἄλλο ἕν· καὶ ὁ λοιπὸς δὲ ὡσαύτως. οὗτος δὲ μετὰ τὸ ἓν δύο ἕτερα, ἄνευ τοῦ ἑνὸς τοῦ πρώτου, καὶ ἡ τριὰς ἄνευ τῆς δυάδος. ὁμοίως δὲ καὶ ὁ ἄλλος ἀριθμός. ἢ τὸν μὲν εἶναι τῶν ἀριθμῶν οἷος ὁ πρῶτος ἐλέχθη, τὸν δ' οἷον οἱ μαθηματικοὶ λέγουσι, τρίτον δὲ τὸν ῥηθέντα τελευταῖον. ἔτι τούτους ἢ χωριστοὺς εἶναι τοὺς ἀριθμοὺς τῶν πραγμάτων, ἢ οὐ χωριστοὺς, ἀλλ' ἐν τοῖς αἰσθητοῖς, οὐχ οὕτως δ' ὡς τὸ πρῶτον ἐπεσκοποῦμεν, ἀλλ' ὡς ἐκ τῶν ἀριθμῶν ἐνυπαρχόντων τὰ αἰσθητὰ ὄντα, ἢ τὸν μὲν αὐτῶν εἶναι, τὸν δὲ μή, ἢ πάντας εἶναι. οἱ μὲν οὖν τρόποι καθ' οὓς ἐνδέχεται αὐτοὺς εἶναι, οὗτοί εἰσιν ἐξ ἀνάγκης μόνοι. σχεδὸν δὲ καὶ οἱ λέγοντες τὸ ἓν ἀρχὴν εἶναι, καὶ οὐσίαν καὶ στοιχεῖον πάντων, καὶ ἐκ τούτου καὶ ἄλλου τινὸς εἶναι τὸν ἀριθμόν, ἕκαστος τούτων τινὰ τῶν τρόπων εἴρηκε, πλὴν τοῦ πάσας τὰς μονάδας εἶναι ἀσυμβλήτους. καὶ τοῦτο συμβέβηκεν εὐλόγως· οὐ γὰρ ἐνδέχεται ἔτι ἄλλον τρόπον εἶναι παρὰ τοὺς εἰρημένους. οἱ μὲν οὖν ἀμφοτέρους φασὶν εἶναι τοὺς ἀριθμούς, τὸν μὲν ἔχοντα τὸ πρότερον καὶ ὕστερον, τὰς ἰδέας, τὸν δὲ μαθηματικὸν, παρὰ τὰς ἰδέας καὶ τὰ αἰσθητά, καὶ χωριστοὺς ἀμφοτέρους τῶν αἰσθητῶν. οἱ δὲ τὸν μαθηματικὸν μόνον ἀριθμὸν εἶναι τὸν πρῶτον τῶν ὄντων, κεχωρισμένον τῶν αἰσθητῶν. καὶ οἱ Πυθαγόρειοι δ' ἕνα, τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον, ἀλλ' ἐκ τούτου τὰς αἰσθητὰς οὐσίας συνεστάναι φασί. τὸν γὰρ ὅλον οὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν, πλὴν οὐ μοναδικῶν, ἀλλὰ τὰς μονάδας ὑπολαμβάνουσιν ἔχειν μέγεθος. ὅπως δὲ τὸ πρῶτον ἓν συνέστη ἔχον μέγεθος, ἀπορεῖν ἐοίκασιν. ἄλλος δέ τις τὸν πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν ἕνα εἶναι· ἔνιοι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τοῦτον εἶναι. ὁμοίως δὲ καὶ περὶ τὰ μήκη, καὶ τὰ ἐπίπεδα, καὶ τὰ στερεά. οἱ μὲν γὰρ ἕτερα τὰ μαθηματικὰ, καὶ τὰ μετὰ τὰς ἰδέας. τῶν δ' ἄλλως λεγόντων, οἱ μὲν τὰ μαθηματικὰ καὶ μαθηματικῶς λέγουσιν, ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμούς,

inuicē: & ita in cęteris numeris. Quæ verò in ipsa dualitate, incomparabiles eis quæ in ipsa trinitate sunt: & similiter de aliis consequentibus numeris. Ideo mathematicus quidem numeratur post vnum duo, cum anteriori vno aliud vnum: tria quoque cum his duobus aliud vnum: & reliquis quidem similiter: iste verò post vnum, duo alia absque primo vno, & trinitas absque dualitate. Similiter autem & reliquus numerus. Aut igitur quendam numerorum esse oportet, qualis primus dictus est, quendam autem, qualem mathematici dicunt, tertium verò, qualis vltimo dictus est. Item, istos numeros aut separatos à rebus esse aut non separatos, sed in ipsis sensibilibus: non autem ita vt priùs considerabamus, sed vt ex numeris inexistentibus ipsis sensibilibus, aut quendam eorum esse, quendam non, aut omnes esse. Modi quidem, secundum quos contingit eos esse, hi sunt necessariò soli. At hi etiam, qui dicunt ipsum vnum principium, substantiam, ac elementum omnium esse, & ex hoc, & alio quodam numerum esse, ferè singuli, horum aliquem modorum dixerunt, præterquàm quòd omnes vnitates incombinabiles sint, & rationaliter accidit: non enim contingit alium modum esse, præter eos qui dicti sunt. Quidam itaque ambos numeros esse aiunt: illum quidem, qui prius & posterius habet, ideas: mathematicum verò, præter ideas, & sensibilia, ac ambos à sensibilibus separatos. Quidam mathematicum solum numerum esse primum entium, ac à sensibilibus separatum. Pythagorici quoque vnum ipsum mathematicum, verùm non separatum, sed ex eo sensibiles substantias constare dicunt. Totum enim cælum ex numeris construunt præter id, quod non ex monadicis: sed vnitates existimant habere magnitudinem. Quo autem modo primum vnum consistit magnitudinem habens, dubitare videntur. Alius autem quidam primum numerum, ipsum specierum vnum esse: alij verò ipsum mathematicum, hunc eundem esse. Simili modo etiam circa longitudines, & plana, & solida: quidam enim, alia esse mathematica, & alia, quæ post ideas. Eorum verò qui aliter dicunt, quidam mathematica, & mathematicè dicunt, quicunque ideas non faciunt numeros,

Universidad de Deusto
Biblioteca

nec esse ideas aiunt: quidam mathematica, non mathematicé. Non etenim secari omnem magnitudinem in magnitudines, neque quascunque vnitates dualitatem esse. Monadicos autem numeros esse ponunt omnes, præter Pythagoricos, quicunque vnum, elementum, atque principium entium aiunt esse: illi enim habentia magnitudinem aiunt, vt priùs dictũ est. Quot igitur modis contingat de eis dici, quódq; omnes modi dicti sint, ex his manifestum est. Sunt autem cuncta quidem impossibilia, magis verò fortassis altera alteris.

CAPVT VII.

Primò itaque considerandum est verũ combinabiles sint vnitates, an incombinabiles. Quòd si incombinabiles, quonam modo, vt diuisimus: est enim quancunque cuicunque vnitati incombinabilem esse: est autem eas, quæ in ipsa dualitate sunt, ad eas, quæ in ipsa trinitate: & sic eas, quæ in vnoquoque numero primo sunt, incombinabiles inuicem esse. Si omnes igitur vnitates combinabiles, & indifferentes sint, mathematicus numerus fit, & vnus solus: neque contingit ideas numeros esse. Qualis nanque numerus, idealis homo, aut animal, aut aliqua alia specierum erit? Idea nanque vna vniuscuiusque, veluti ipsius hominis vna, & ipsius animalis alia vna: hi verò similes, & indifferentes indefiniti. Quare nihil magis hęc trinitas ipse idealis homo erit, quàm quæcunq. Quod si ideæ non sunt numeri, nec omnino possibile est eas esse: ex quibus nanque principiis ideæ erunt? Numerus enim ex vno, & dualitate indeterminata estiae principia, & elementa ipsius numeri dicuntur, neque ea contingit aut priora, aut posteriora numeris ordinare. Si verò vnitates incõbinabiles sunt, & ita incombinabiles, vt quæcunque cuicunque, nec mathematicum hunc contingit esse numerum. Mathematicus nanque ex indifferentibus est: & quæ de eo ostenduntur: tanquam in tali conueniunt, nec hunc esse specierum: non enim erit dualitas prima ex vno, & indeterminata dualitate. Deinde consequentes numeri, vt dicitur, dualitas, trinitas, quaternitas: simul etenim quæ sunt in prima dualitate vnitates, generantur: siue quemadmodũ qui priùs dixit, ex inæquabilibus (factis nanque æqualibus fiebant) siue aliter. Deinde si altera vnitas prior altera erit, dualitate etiã, quæ ex his fit, prior erit. Cùm enim aliquid sit, quoddã prius, quoddã posterius,

μηδὲ εἶναί φασιν ἰδέας, οἱ δὲ τὰ μαθηματικὰ, οὐ μαθηματικῶς δέ. οὐ γὰρ τέμνεσθαι οὔτε μέγεθος πᾶν εἰς μεγέθη, οὔθ' ὁποιασοῦν μονάδας, δυάδα εἶναι. μοναδικοὺς δὲ τοὺς ἀριθμοὺς εἶναι πάντες τιθέασι, πλὴν τῶν Πυθαγορείων, ὅσοι τὸ ἓν στοιχεῖον καὶ ἀρχήν φασιν εἶναι τῶν ὄντων. ἐκεῖνοι δ' ἔχοντα μέγεθος, καθάπερ εἴρηται πρότερον. ὁσαχῶς μὲν οὖν ἐνδέχεται λεχθῆναι περὶ αὐτῶν, καὶ ὅτι πάντες εἰσὶν εἰρημένοι οἱ τρόποι, φανερὸν ἐκ τούτων. ἔστι δὲ πάντα μὲν ἀδύνατα, μᾶλλον δ' ἴσως θάτερα τῶν ἑτέρων.

Κεφάλαιον ζ.

Πρῶτον μὲν οὖν σκεπτέον, εἰ συμβληταὶ αἱ μονάδες ἢ ἀσύμβλητοι· καὶ εἰ ἀσύμβλητοι, ποτέρως ὥσπερ διείλομεν. ἔστι μὲν γὰρ ὁποιανοῦν εἶναι ὁποιανοῦν μονάδι ἀσύμβλητον, ἔστι δὲ τὰς ἐν αὐτῇ τῇ δυάδι πρὸς τὰς ἐν αὐτῇ τῇ τριάδι, καὶ οὕτως δὴ ἀσυμβλήτους εἶναι τὰς ἐν ἑκάστῳ τῷ πρώτῳ ἀριθμῷ πρὸς ἀλλήλας. εἰ μὲν οὖν πᾶσαι συμβληταὶ καὶ ἀδιάφοροι αἱ μονάδες, ὁ μαθηματικὸς γίνεται ἀριθμὸς, καὶ εἷς μόνος· καὶ τὰς ἰδέας οὐκ ἐνδέχεται εἶναι τοὺς ἀριθμούς. ποῖος γὰρ ἔσται ἀριθμὸς αὐτοάνθρωπος, ἢ ζῷον, ἢ ἄλλο ὁτιοῦν τῶν εἰδῶν; ἰδέα μὲν γὰρ μία ἑκάστου, οἷον αὐτοῦ ἀνθρώπου μία, καὶ αὐτοῦ ζῴου ἄλλη μία· οἱ δ' ὅμοιοι καὶ ἀδιάφοροι, ἄπειροι. ὥστ' οὐθὲν μᾶλλον ἥδε ἡ τριὰς αὐτοάνθρωπος, ἢ ὁποιαοῦν. εἰ δὲ μὴ εἰσὶν ἀριθμοὶ αἱ ἰδέαι, οὐδ' ὅλως οἷόν τε αὐτὰς εἶναι. ἐκ τίνων γὰρ ἔσονται ἀρχῶν αἱ ἰδέαι; ὁ γὰρ ἀριθμός ἐστιν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος τῆς ἀορίστου, καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα λέγονται τοῦ ἀριθμοῦ εἶναι, τάξαι τε οὔτε προτέρας ἐνδέχεται τῶν ἀριθμῶν αὐτὰς, οὔθ' ὑστέρας. εἰ δὲ ἀσύμβλητοι αἱ μονάδες, καὶ οὕτως ἀσύμβλητοι, ὥστε ἡτισοῦν ἡτινιοῦν, οὔτε τὸν μαθηματικὸν ἐνδέχεται εἶναι τοῦτον ἀριθμόν (ὁ μὲν γὰρ μαθηματικὸς ἐξ ἀδιαφόρων, καὶ τὰ δεικνύμενα κατ' αὐτοῦ ὡς ἐπὶ τοιούτου ἁρμόττει) οὔτε τὸν τῶν εἰδῶν. οὐ γὰρ ἔσται ἡ δυὰς πρώτη ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἔπειτα οἱ ἑξῆς ἀριθμοὶ, ὡς λέγεται, δυὰς, τριὰς, τετράς· ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται, εἴτε ὥσπερ ὁ πρῶτος εἰπὼν ἐξ ἀνίσων (ἰσασθέντων γὰρ ἐγένοντο) εἴτε ἄλλως. ἐπεὶ εἰ ἔσται ἡ ἑτέρα μονὰς τῆς ἑτέρας προτέρα, καὶ τῆς δυάδος τῆς ἐκ τούτων ἔσται προτέρα· ὅταν γὰρ ᾖ τι τὸ μὲν πρότερον, τὸ δ' ὕστερον,

καὶ τὸ ἐκ τούτων, τοῦ μὲν ἔσται πρότερον, τοῦ δ' ὕστερον. ἔτι ἐπειδὴ ἔστι πρῶτον μὲν αὐτὸ τὸ ἕν, ἔπειτα τῶν ἄλλων ἔστι τι πρῶτον ἕν, δεύτερον δὲ μετ' ἐκεῖνο, καὶ πάλιν τρίτον, τὸ δεύτερον μὲν μετὰ τὸ δεύτερον, τρίτον δὲ μετὰ τὸ πρῶτον ἕν· ὥστε πρότεραι ἂν εἶεν αἱ μονάδες, ἢ οἱ ἀριθμοὶ ἐξ ὧν λέγονται, οἷον ἐν τῇ δυάδι τρίτη μονὰς ἔσται, πρὶν τὰ τρία εἶναι, καὶ ἐν τῇ τριάδι τετάρτη, καὶ ἡ πέμπτη, πρὶν τοὺς ἀριθμοὺς τούτους. οὐδεὶς μὲν οὖν εἴρηκεν αὐτῶν τὸν τρόπον τοῦτον ἀσυμβλήτους τὰς μονάδας εἶναι. ἔστι δὲ κατὰ μὲν τὰς ἐκείνων ἀρχὰς, εὔλογον καὶ οὕτως, κατὰ μέντοι τὴν ἀλήθειαν ἀδύνατον. τάς τε γὰρ μονάδας προτέρας εἶναι καὶ ὑστέρας εὔλογον, εἴπερ καὶ πρώτη τίς ἐστι μονὰς, καὶ ἓν πρῶτον, ὁμοίως δὲ καὶ δυάδας, εἴπερ καὶ δυὰς πρώτη ἐστί. μετὰ γὰρ τὸ πρῶτον, εὔλογον καὶ ἀναγκαῖον δεύτερόν τι εἶναι, καὶ εἰ δεύτερον, τρίτον, καὶ οὕτω δὴ τὰ ἄλλα ἐφεξῆς. ἅμα δ' ἀμφότερα λέγειν, μονάδα τε μετὰ τὸ ἓν πρώτην εἶναι, καὶ δευτέραν, καὶ δυάδα πρώτην, ἀδύνατον. οἱ δὲ ποιοῦσι μονάδα μὲν καὶ ἓν πρῶτον, δεύτερον δὲ καὶ τρίτον οὐκέτι· καὶ δυάδα πρώτην, δευτέραν δὲ καὶ τρίτην οὐκέτι. φανερὸν δὲ καὶ ὅτι οὐκ ἐνδέχεται, εἰ ἀσύμβλητοι πᾶσαι αἱ μονάδες, δυάδα εἶναι αὐτὴν καὶ τριάδα, καὶ οὕτως τοὺς ἄλλους ἀριθμούς. ἄν τε γὰρ ὦσιν ἀδιάφοροι αἱ μονάδες, ἄν τε διαφέρουσαι ἑκάστη ἑκάστης, ἀνάγκη ἀριθμεῖσθαι τὸν ἀριθμὸν κατὰ πρόσθεσιν, οἷον τὴν δυάδα πρὸς τῷ ἑνὶ, ἄλλου ἑνὸς προστεθέντος, καὶ τὴν τριάδα, ἄλλου ἑνὸς πρὸς τοῖς δυσὶ προστεθέντος, καὶ τὴν τετράδα ὡσαύτως. τούτων δὲ ὄντων, ἀδύνατον τὴν γένεσιν εἶναι τῶν ἀριθμῶν, ὡς γεννῶσιν ἐκ τῆς δυάδος καὶ τοῦ ἑνός. μόριον γὰρ γίνεται ἡ δυὰς τῆς τριάδος, καὶ αὕτη τῆς τετράδος. τὸν αὐτὸν δὲ τρόπον συμβαίνει καὶ ἐπὶ τῶν ἐχομένων. ἀλλ' ἐγίνετο ἐκ τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος, ἡ τετρὰς, δύο δυάδες, παρ' αὐτὴν τὴν δυάδα. εἰ δὲ μὴ, μόριον ἔσται αὐτὴ ἡ δυάς, ἑτέρα δὲ προσέσται μία δυάς, καὶ ἡ δυὰς ἔσται ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου ἑνός. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε εἶναι τὸ ἕτερον στοιχεῖον δυάδα ἀόριστον. μονάδα γὰρ μίαν γεννᾷ, ἀλλ' οὐ δυάδα ὡρισμένην. ἔτι παρ' αὐτὴν τὴν τριάδα καὶ αὐτὴν τὴν δυάδα, πῶς ἔσονται ἄλλαι τριάδες καὶ δυάδες

& quod ex his, hoc quidem prius, illo verò posterius est. Item cùm primum quidem ipsum vnum sit, deinde cæterorum aliquod vnum, secundum verò post illud, & rursus tertium, quod secundum est post secundum, tertium erit post primum vnum. Quare priores profectò erunt vnitates, quàm numeri, qui eas complectuntur: veluti in dualitate erit tertia vnitas antè, quàm tria sint: & in trinitate, quarta, & quinta antè, quàm hi numeri sint. At nemo eorum hoc modo dixit vnitates incombinabiles: verùm secundum quidem principia eorum, ita esse rationabile est: secundum autem veritatem, impossibile est. Etenim vnitates priores, & posteriores esse rationabile est, si & quædam quidem prima vnitas est, vnúmque primum: & dualitates similiter, si & prima quidem dualitas est: post nanque primum, rationabile, & necessarium est, secundum quiddam esse: & si secundum, tertium: & ita cætera consequenter. Simul vero vtrumque dicere, vnitatémque primam post vnum esse, atque secundam, & primam dualitatem impossibile est. Hi vero vnitatem quidem & vnum primum faciunt, secundum vero, & tertium nequaquam: ac dualitatem primam, secundam vero, & tertiam minimé. Constat autem, quòd si omnes vnitates incombinabiles sunt, non contingit dualitatem ipsam esse, ac trinitatem, & sic cæteros numeros: siue nanque sint vnitates indifferentes, siue differentes singulæ à singulis, necesse est numerum numerari per additionem: veluti binarium, ad vnum vno alio addito: ternarium quoque, alio vno ad duo apposito: & simili modo, quaternarium. Quare cùm ita sint, impossibile est numerorum esse generationem, quemadmodum ex dualitate, & vnitate generant. Binarius nanque, pars ternarij fit, & hic, quaternarij. Eodem autem modo & in consequentibus accidit. At ex primo binario, indeterminatóque binario, fiebat quaternarius, duo binarij præter ipsum binarium. Quòd si non pars erit ipse binarius: alter verò adhuc erit vnus binarius: & binarius erit ex ipso vno, & aliõ vno. Quod si est, non est possibile alterum elementum esse indeterminatum binarium. Vnam enim vnitatem generant, sed non determinatum binarium. Item præter ipsum ternarium, ipsúmque binarium, quomodo erunt alij ternarij, & binarij?

A quòve modo ex prioribus & posterioribus vnitatibus componuntur? hæc enim omnia & fictitia sunt, & impossibile esset esse primum binarium, deinde ipsum ternarium. At necesse est, postquam vnum quidem, & indeterminatus binarius elementa erunt: quòd si quæ accidunt, impossibilia sunt, hæc quoque principia impossibile est esse. Si itaque vnitates quæcunque à quibuscunque differant, hæc, & alia huiuscemodi necessariò accidunt. Si B autem quæ quidem in alio differentes sunt, quæ verò in eodem numero indifferentes inuicem solæ, non pauciora difficultatem ingerentia, hoc quoque modo accidunt. veluti in ipso denario, decem vnitates sunt. Componitur autem denarius, tum ex his, tum ex duobus quinariis. Cùm verò ipse denarius non sit quicunque numerus, nec ex quibuscunque quinariis componatur, sicuti nec vnitatibus, C necesse est vnitates, quæ in hoc denario sunt, differre. Nam si non differant, nec quinarij different, ex quibus denarius est. Cùm verò differant, vnitates quoque different. Si igitur differant, vtrum non erunt quinarij alij, sed hi duo tantum, an erunt? Siue igitur non erunt, inconueniens est, siue erunt, qualis ex eis denarius erit? Non est enim in denario alius denarius, præter ipsum. At verò etiam necesse D est, vt non ex quibusuis binariis quaternarius componatur. Indeterminatus nanque binarius (vt aiunt) determinatum accipiens binarium, duos binarios efficit: eo enim quod cepit, binarij fuit efficiens. Item, quonam modo contingit, binarium præter duas vnitates, ac ternarium præter tres vnitates, aliquam esse naturam: siue enim certè alterum altero participabit (quemadmodum albus homo præter album & hominem: his etenim participat) E siue cùm alterum quædam alterius differentia sit, quemadmodum homo præter animal, & bipes. Item quædam tactu, quædam mistione: quædam positione sunt vnum: quorum nihil vnitatibus, ex quibus binarius, atque ternarius fit, competit: sed quemadmodum duo homines non sunt vnum quid præter vtrunque, ita de vnitatibus quoque necesse est. Et non, quoniam indiuisibile, idcirco different: etenim puncta quoque indiuisibilia sunt: veruntamen dualitas eorum nihil aliud est præter duo. At verò nec hoc latere decet, quòd accidit, priores posterioresque dualitates esse, similiter autẽ & alios numeros. Binarij enim qui in quaternario sunt,

A καὶ τίνα τρόπον ἐκ προτέρων μονάδων καὶ ὑστέρων σύγκεινται; πάντα γὰρ ταῦτ' ἐστὶ πλασματώδη, καὶ ἀδύνατον εἶναι πρώτην δυάδα, εἶτ' αὐτὴν τριάδα. ἀνάγκη δ' ἐπειδὴ ἔσται τὸ ἓν καὶ ἡ ἀόριστος δυὰς στοιχεῖα. εἰ δ' ἀδύνατα τὰ συμβαίνοντα, καὶ τὰς ἀρχὰς ταύτας εἶναι ἀδύνατον. εἰ μὲν οὖν διάφοροι αἱ μονάδες ὁποιαιοῦν ὁποιαισοῦν, ταῦτα καὶ τοιαῦθ' ἕτερα συμβαίνει ἐξ ἀνάγκης. εἰ δ' B αἱ μὲν ἐν ἄλλῳ διάφοροι, αἱ δ' ἐν τῷ αὐτῷ ἀριθμῷ ἀδιάφοροι ἀλλήλαις μόναι, καὶ οὕτως συμβαίνει τὰ δυσχερῆ. οἷον γὰρ ἐν τῇ δεκάδι αὐτῇ, ἔνεισι δέκα μονάδες. σύγκειται δὲ καὶ ἐκ τούτων, καὶ ἐκ δύο πεντάδων, ἡ δεκάς. ἐπεὶ δ' οὐχ ὁ τυχὼν ἀριθμὸς αὐτὴ ἡ δεκάς, οὐδὲ γὰρ σύγκειται ἐκ τῶν τυχουσῶν πεντάδων, ὥσπερ οὐδὲ μονάδων, ἀνάγκη διαφέρειν τὰς C μονάδας τὰς ἐν τῇ δεκάδι ταύτῃ. ἂν γὰρ μὴ διαφέρωσιν, οὐδ' αἱ πεντάδες διοίσουσιν, ἐξ ὧν ἐστὶν ἡ δεκάς· ἐπεὶ δὲ διαφέρουσι, καὶ αἱ μονάδες διοίσουσιν. εἰ δὲ διαφέρουσι, πότερον οὐκ ἐνέσονται πεντάδες ἄλλαι, ἀλλὰ μόνον αὗται αἱ δύο, ἢ ἔσονται; εἴτε δὲ μὴ ἐνέσονται, ἄτοπον· εἴτ' ἐνέσονται, ποία ἔσται δεκὰς ἐξ ἐκείνων; οὐ γάρ ἐστιν ἑτέρα δεκὰς ἐν τῇ δεκάδι παρ' αὐτήν. ἀλλὰ μὴν καὶ ἀνάγκη γε μὴ ἐκ D τῶν τυχουσῶν δυάδων τὴν τετράδα συγκεῖσθαι. ἡ γὰρ ἀόριστος δυάς, ὥς φασι, λαβοῦσα τὴν ὡρισμένην δυάδα, δύο δυάδας ἐποίησε. τοῦ γὰρ ληφθέντος ἦν δυοποιός. ἔτι τὸ εἶναι παρὰ τὰς δύο μονάδας, τὴν δυάδα φύσιν τινά, καὶ τὴν τριάδα παρὰ τὰς τρεῖς μονάδας, πῶς ἐνδέχεται; ἢ γὰρ μεθέξει θατέρου θάτερον, ὥσπερ λευκὸς ἄνθρωπος, παρὰ E λευκὸν καὶ ἄνθρωπον (μετέχει γὰρ τούτων) ἢ ὅταν ᾖ θατέρου θάτερον διαφορά τις, ὥσπερ ἄνθρωπος παρὰ τὸ ζῷον καὶ δίπουν. ἔτι τὰ μὲν ἁφῇ ἐστὶν ἕν, τὰ δὲ μίξει, τὰ δὲ θέσει· ὧν οὐδὲν ἐνδέχεται ὑπάρχειν ταῖς μονάσιν, ἐξ ὧν ἡ δυάς, καὶ ἡ τριάς· ἀλλ' ὥσπερ οἱ δύο ἄνθρωποι οὐχ ἕν τι παρ' ἀμφοτέρους, οὕτως ἀνάγκη καὶ τὰς μονάδας. καὶ οὐχ ὅτι ἀδιαίρετοι, διοίσουσι διὰ τοῦτο· καὶ γὰρ αἱ στιγμαὶ ἀδιαίρετοι, ἀλλ' ὅμως παρὰ τὰς δύο οὐθὲν ἕτερον ἡ δυὰς αὐτῶν. ἀλλὰ μηδὲ τοῦτο δεῖ λανθάνειν, ὅτι συμβαίνει προτέρας καὶ ὑστέρας εἶναι δυάδας, ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἀριθμούς. αἱ μὲν γὰρ ἐν τῇ τετράδι δυάδες ἔστωσαν

ἔστωσαν ἀλλήλαις ἅμα· ἀλλ' αὗται τῶν ἐν τῇ A ὀκτάδι προτέραι εἰσί, καὶ ἐγέννησαν, ὥσπερ ἡ δυὰς ταύτας, αὗται τὰς τετράδας τὰς ἐν τῇ ὀκτάδι αὐτῇ. ὥστε εἰ καὶ ἡ πρώτη δυὰς ἰδέα, καὶ αὗται ἰδέαι τινὲς ἔσονται. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν μονάδων. αἱ γὰρ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες, γεννῶσι τὰς τέτταρας τὰς ἐν τῇ τετράδι. ὥστε πᾶσαι αἱ μονάδες ἰδέαι γίγνονται, καὶ συγκείσεται ἰδέα ἐξ B ἰδεῶν. ὥστε δῆλον ὅτι κἀκεῖνα, ὧν ἰδέαι αὗται τυγχάνουσιν οὖσαι, συγκείμενα ἔσται, εἰ τὰ ζῷα φαίη τις συγκεῖσθαι ἐκ ζῴων, εἰ τούτων ἰδέαι εἰσίν, ἐκ ζῴων ἰδέαι ἔσονται. ὅλως δὲ τὸ ποιεῖν τὰς μονάδας διαφόρους ὁπωσοῦν, ἄτοπον καὶ πλασματῶδες, λέγω δὲ πλασματῶδες, τὸ πρὸς ὑπόθεσιν βεβιασμένον. οὔτε γὰρ κατὰ τὸ ποσόν, οὔτε κατὰ τὸ ποιὸν C ὁρῶμεν διαφέρουσαν μονάδα μονάδος· ἀνάγκη τε ἢ ἴσον ἢ ἄνισον εἶναι ἀριθμόν, πάντα μέν, μάλιστα δὲ τὸν μοναδικόν. ὥστε εἰ μήτε πλείων μήτε ἐλάττων, ἴσος· τὰ δὲ ἴσα καὶ ὅλως ἀδιάφορα, ταὐτὰ ὑπολαμβάνομεν ἐν τοῖς ἀριθμοῖς. εἰ δὲ μή, οὐδ' αἱ ἐν αὐτῇ τῇ δεκάδι δυάδες ἀδιάφοροι ἔσονται, ἴσαι οὖσαι. τίνα γὰρ αἰτίαν ἕξει λέγειν, ὁ φάσκων ἀδιαφόρους εἶναι; ἔτι εἰ ἅπασα μονὰς καὶ μονὰς D ἄλλη, δύο, ἡ δ' ἐκ τῆς δυάδος αὐτῆς μονάς, καὶ ἡ ἐκ τῆς τριάδος αὐτῆς δυάς, ἔσται ἐκ διαφερουσῶν τε, καὶ πότερον προτέρα τῆς τριάδος ἢ ὑστέρα; μᾶλλον γὰρ ἔοικεν ἀναγκαῖον προτέραν εἶναι. ἡ μὲν γὰρ ἅμα τῇ τριάδι, ἡ δ' ἅμα τῇ δυάδι τῶν μονάδων· καὶ ἡμεῖς μὲν ὑπολαμβάνομεν ὅλως ἕν, καὶ ἕν, καὶ ἐὰν ᾖ ἴσα ἢ ἄνισα, δύο εἶναι, οἷον τὸ ἀγαθόν, καὶ τὸ κακόν, καὶ E ἄνθρωπον καὶ ἵππον. οἱ δ' οὕτω λέγοντες, οὐδὲ τὰς μονάδας. εἴ τε μὴ ἔστι πλείων ὁ ἀριθμὸς ὁ τῆς τριάδος αὐτῆς, ἢ ὁ τῆς δυάδος, θαυμαστόν· εἰ δ' ἐστὶ πλείων, δῆλον ὅτι καὶ ἴσος ἔνεστι τῇ δυάδι, ὥστε οὗτος ἀδιάφορος αὐτῇ τῇ δυάδι. ἀλλ' οὐκ ἐνδέχεται, εἰ πρῶτός τις ἔστιν ἀριθμός, καὶ δεύτερος. οὐδὲ ἔσονται αἱ ἰδέαι ἀριθμοί. τοῦτο μὲν γὰρ αὐτὸ ὀρθῶς λέγουσιν οἱ διαφόρους τὰς μονάδας ἀξιοῦντες εἶναι, εἴπερ ἰδέαι ἔσονται, ὥσπερ εἴρηται πρότερον· ἓν γὰρ τὸ εἶδος, αἱ δὲ μονάδες εἰ ἀδιάφοροι, καὶ αἱ δυάδες καὶ αἱ τριάδες ἔσονται ἀδιάφοροι. διὸ καὶ τὸ ἀριθμεῖσθαι οὕτως, ἓν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ ὑπάρχοντι ἀναγκαῖον

A sint inuicem simul, sed ipsi iis, qui octonario insunt, priores sunt, & genuerunt (quemadmodum binarius ipsos) ipsi quaternarios, qui in ipso octonario sunt. Quare si & primus binarius idea, hi quoque quædam ideæ erunt. Eadem ratio de vnitatibus etiam est: quæ enim in prima dualitate sunt, vnitates generant quatuor, quę in quaternario sunt. Quare omnes vnitates ideæ fiunt, & componetur idea ex i-B deis. Quam ob rem patet, quòd etiam illa, quorum hæ sunt ideæ, composita erunt: veluti si quis animalia dicat ex animalibus componi, horum ideæ sunt, ex animalibus ideæ erunt. Et omnino facere vnitates, quomodocunque differentes, absurdum, & fictitium est. Dico autem fictitium, quod ad suppositionem coactum est. Nec enim secundum quantum, nec secundum quale, videmus differre vnitatem ab vnitate: necesséque est aut æqua-C lem, aut inæqualem esse omnem quidem numerum, sed præcipuè monadicũ. Quare si nec maior, neque minor, æqualis: æqualia verò, & omnino indifferentia, eadem putamus esse in numeris. Quod si non ita sit, nec dualitates, quæ in hoc denario sunt, indifferentes erunt, cùm æquales sint. Quam enim causam dicturus est, qui dicit indifferentes esse? Item, si omnis vnitas, & vnitas alia, duo faciunt, vnitas, D quæ ex ipso binario, & quæ ex ipso ternario erit binarius, & ex indifferentibus. Et vtrum ternario prior, an posterior? Magis nanque videtur necessarium priorem esse: hæc nanque vnitatum simul ternario, illa verò simul dualitati. Et nos quidem omnino putamus vnum & vnum, siue æqualia, siue inæqualia sint, duo esse, veluti bonum, & malum, & hominem & equum: E qui verò ita dicunt, nec ipsas vnitates. Siue autem non est maior numerus ipsius ternarij, quàm dualitatis, mirum est: siue est maior, constat quòd æqualis etiam dualitati inest: quare ipse indifferens ab ipsa dualitate. Verùm non contingit, si primus aliquis numerus est, & secundus. Nec erunt ideæ numeri: hoc enim ipsum rectè aiunt, qui vnitates differentes debere esse arbitrantur. Si quidem erunt ideæ F (vt priùs dictum est) vna profectò erit species. Si verò vnitates indifferentes, dualitates quoque, ac ternarij indifferentes erunt: quare est eis dicere, ita numerandum esse, vnum, duo, non superaddito iam præexistenti. Nec enim generatio

χοντι ἀναγκαῖον αὐτοῖς λέγειν. οὔτε γὰρ ἡ γένεσις

Universidad de Deusto
Biblioteca

ex indeterminata dualitate erit, nec ideã esse contingit. Inerit nanque altera idea in altera, eunctaque species, vnius partes. Quare secundum suppositionem quidem, rectè dicunt: simpliciter verò, non rectè: multa nanque perimunt. Cùm autem hoc ipsum habere quandam profectò dicant dubitationem, vtrum cum numeremus, & dicamus vnum duo, tria, assumentes numeramus, an secundum partes, an vtroque modo facimus: quapropter ridiculum est, hanc ad tamã substantiæ differentiã reducere.

A ἰσχυ ἐκ τῶν ἀορίστου δυάδος, οὐτ' ἰδέας ἐν-
δέχεται εἶναι. συμπαρέρχεται γὰρ ἑτέρᾳ ἰδέᾳ ἐν ἑτέ-
ρᾳ· καὶ πάντα τὰ εἴδη, εἰδῶν μέρη. διὸ σφόδρα
γελοῖον φαίνεται, ὁρισμὸς λέγουσιν, ὅλως δὲ ἐν
ἀρχῇ. πολλὰ γὰρ ἀναιροῦσι· ἐπεὶ τοῦ γ' αὐτοῦ
ἔχειν τινὰ φύσιν ἀναγκαῖον, πότερον ὅτ-
τον ἀριθμοῦμεν καὶ εἴπομεν ἕν, δύο, τρία,
πότερον συναριθμοῦντες ἀριθμοῦμεν, ἢ κατὰ μερί-
δας· πολλαχῇ δὲ ἅμα ποιοῦμεν. διὸ γελοῖον
τοῦτον εἰς τὸν ἀριθμὸν τὴν οὐσίας ἀνάγειν
διαιρέσεις.

B Ἔτι δὲ τοῦτο καὶ τῶν ἔχει ἀμφισβή-
τησιν, τίς ἀριθμὸς διαιρετὸς, καὶ μονάς,
εἰ ἔστι. πάντων δὴ ἢ κατὰ τὸ ποσὸν, ἢ κατὰ
τὸ ποιὸν διαιρεῖται. τούτων δὲ ἑκάτερον φαί-
νεται ἐκ δυάδος εἶναι ἀρχῆς, ἀλλ' ἢ ἀριθμὸς
C κατὰ τὸ ποσόν. εἰ δὲ δὴ καὶ ἡ μονὰς ἐν τῷ πο-
σῷ διάφορον, κἂν ἀριθμὸς ἀριθμοῦ διέφερε,
ὁ ἄπειρος τῷ πλήθει τῆς μονάδος. ἔτι πότερον αἱ
φορὰ τῆς μείζους ἢ ἐλάττους, καὶ ὕστερον ἐπι-
δίδωσιν, ἢ τοιοῦτον. ταῦτα γὰρ ταῦτα ἀλ-
λοῖα. ἀλλὰ μὴν οὐδὲ κατὰ τὸ ποιὸν διαφέρει
ἐκ δυάδος. οὐδὲν γὰρ αὐτοῖς οἷόν τε ὑπάρχειν
πάθος ὕστερον καὶ τοῖς ἀριθμοῖς φασιν ὑπάρ-
χειν τὸ ποιὸν τὸ ποσόν. ἔτι οὐτ' εἰ λοιπὸ τῶ-
D νοις τοῦ αὐτοῦ γένοιτο, οὐτ' εἰ λοιπὸ τῶν δυάδο-
ς. τὸ μὲν γὰρ εὐ ποιεῖν ἢ δὲ ποσόν, ποιεῖ. τὸ γὰρ
πολὺ τῷ ὄντι ἦν, αἴτιον αὐτοῖς ἡ φύσις. εἰ δὴ
αἴτια ἔχει τοῖς ἄλλοις, κινεῖν ἐν ἀρχῇ μείζε-
τα τῶν· καὶ διαφέρειν οὐκ μονάδος διαφο-
ρᾶς, μᾶλλον καὶ διὸν καὶ ἀνάγκη ὑπάρχει-
εἰ δὲ μή, τίνα λέγουσιν, ὅτι καὶ ἐκ τῶν ἐκεῖ-
ἀριθμοὶ αἱ ἰδέαι, οὐτε συμβλητοὶ τοῖς μο-
E νάδας ἀπόρους ἐνδέχεται εἶναι φύσει, οὐτε
ἀσυμβλήτους ἀλλήλαις οὐδέτερον τῶν ἔθνε-
σιν. ἀλλὰ μὴν, οὐδὲ ὡς ἕτερόν τινες λέγουσι
τοῦ ἀριθμοῦ, λέγοντες καλῶς. εἰσὶ δὲ οὐτ-
τοῦ ὅσοι ἰδέας μὲν ἐν εἶναι φασι, ὅτι ἀπόρους,
οὐτε ὡς ἀριθμοῖς τινας οὖσας· τὸ δὲ μαθη-
ματικὸν φασι, καὶ τοὺς ἀριθμοὺς τοιούτους
ὄντας, καὶ ἀπὸ μονάδος αὐξάνεσθαι. αὐτὸ τὸ ἓν. οὐκοῦν
πρῶτον γὰρ, τὸ ἓν μὲν εἶναί τι πρῶτον τῶν ἐκεῖ-
νῶν φασιν ἐκεῖνοι φασὶ δυάδα ἢ δυάδων μὲ-
μονάδων τῶν δὲ αὐτῶν ἔχει τὸ αὐτὸ τὸν
ἀριθμὸν, καὶ δυάδος τὸ εἶναι τὸν μαθηματικὸν
μόνον, ἐκ τοῦ ἓν ἀρχῆς. ἀναγκαῖον γὰρ ἐκείνῳ
τῶν, καὶ δυάδα ἐκ τῶν ἀορίστου δυάδος, εἶναι τὸν
ἀριθμὸν τῶν ἰδεῶν.

Nec autem omnia probè se habet, determinare quæ iam numeri, & vnitatis differentia estiũ est: necesse autem est, aut secundum quantum, aut secundum quale differre. Neutrum autem horum videtur posse esse: verùm prout numerus, secundũ quantũ. Si itaq. etiã vnitates quantitate different, numerus quoq; à numero differret, qui æqualis est, plenitudine vnitatũ. Item, vtrum primæ maiores, an minores, & postea crescant, an è converso? hæc enim omnia absurda sunt. At verò nec secundum qualitatẽ differre contingit: nullam enim inesse passi... a possibile est. Etenim numeris quoque posterius aiunt inesse qualitatem, quàm quantitatẽ. Item, nec ab vno hoc ipsæ patientur, nec à dualitate. Hoc enim non est quale, illa verò quantum, quale. Nam vt entia multa sunt, hæc naturã causa est. Si igitur aliter quoquo modo se habet, dicendum hoc maximè in principio est, & de differentia vnitatis determinandum maximè quidem & propter quid necesse est existere: Quòd si non, quã dicũt? Et quidem si ideæ numeri sunt, dilucidũ est, quòd neutro modorum contingit, nec cõbinabiles cũctæ vnitates esse, nec inuicẽ incõbinabiles. At nec, vt alij quidã de numeris dicũt, rectè dicũt: sunt autẽ hi, quicunq; ideas quidẽ esse nõ putant, nec simpliciter, nec vt numeros quidã existẽtes: mathematica verò esse, & numeros entiũ primos, ac eorũ principiũ esse ipsum vnũ. Absurdũ nanq. est, vnũ quidẽ esse quid primũ vnorũ, vt illi aiũt: dualitatẽ verò nõ esse dualitatũ. neq. ternariũ ternariorũ: ei sãdẽ. n. rationis omnia sunt. Si igitur ita se habẽt, quæ circa numerum sunt, & solum mathematicũ quia esse ponat, ipsum vnũ nõ est principium. Necesse enim esset, vt tale vnum differret ab aliis vnitatibus. Quòd si hoc dualitatem quoque primam à dualitatibus,

